eul_wid: daw-ap

*Ἀριστοφάνης ὁ Ἀθηναῖος* · Aristophanes of Athens

# Birds

*Ὄρνιθες*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

**ΕΥΕΛΠΙΔΗΣ**

1 Ὀρθὴν κελεύεις, ᾗ τὸ δένδρον φαίνεται;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

2 Διαρραγείης. Ἥδε δ’ αὖ κρώζει πάλιν.

**ΕΥΕΛΠΙΔΗΣ**

2 Τί, ὦ πόνηρ’, ἄνω κάτω πλανύττομεν; Ἀπολούμεθ’ ἄλλως τὴν ὁδὸν προφορουμένω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

5 Τὸ δ’ ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια.

**ΕΥΕΛΠΙΔΗΣ**

5 Τὸ δ’ ἐμὲ κολοιῷ πειθόμενον τὸν δύσμορον ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

5 Ἀλλ’ οὐδὲ ποῦ γῆς ἐσμὲν οἶδ’ ἔγωγ’ ἔτι.

**ΕΥΕΛΠΙΔΗΣ**

10 Ἐντευθενὶ τὴν πατρίδ’ ἂν ἐξεύροις σύ που;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

10 Οὐδ’ ἂν μὰ Δί’ ἐγγετευθενὶ ’ξηκεστίδης.

**ΕΥΕΛΠΙΔΗΣ**

10 Οἴμοι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

12 Σὺ μέν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι.

**ΕΥΕΛΠΙΔΗΣ**

12

Ἦ δεινὰ νὼ δέδρακεν οὐκ τῶν ὀρνέων, ὁ πινακοπώλης Φιλοκράτης μελαγχολῶν,

15 ὃς τώδ’ ἔφασκε νῷν φράσειν τὸν Τηρέα, τὸν ἔποφ’, ὃς ὄρνις ἐγένετ’, ἐκ τῶν ὀρνέων· κἀπέδοτο τὸν μὲν Θαρραλείδου τουτονὶ κολοιὸν ὀβολοῦ, τηνδεδὶ τριωβόλου. Τὼ δ’ οὐκ ἄρ’ ᾔστην οὐδὲν ἄλλο πλὴν δάκνειν.

20 Καὶ νῦν τί κέχηνας; Ἔσθ’ ὅποι κατὰ τῶν πετρῶν ἡμᾶς ἔτ’ ἄξεις; οὐ γάρ ἐστ’ ἐνταῦθά τις ὁδός.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

22 Οὐδὲ μὰ Δί’ ἐνταῦθά γ’ ἀτραπὸς οὐδαμοῦ.

**ΕΥΕΛΠΙΔΗΣ**

22 Τί δ’ ἡ κορώνη; Τῆς ὁδοῦ τι λέγει πέρι;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

22 Οὐ ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.

**ΕΥΕΛΠΙΔΗΣ**

25 Τί δὴ λέγει περὶ τῆς ὁδοῦ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

25 Τί δ’ ἄλλο γ’ ἢ βρύκους’ ἀπέδεσθαί φησί μου τοὺς δακτύλους;

**ΕΥΕΛΠΙΔΗΣ**

25 Οὐ δεινὸν οὖν δῆτ’ ἐστὶν ἡμᾶς δεομένους ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους ἔπειτα μὴ ’ξευρεῖν δύνασθαι τὴν ὁδόν;

30 Ἡμεῖς γάρ, ὦνδρες οἱ παρόντες ἐν λόγῳ, νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ· ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται, ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι, ἀστοὶ μετ’ ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς

35 ἀνεπτόμεθ’ ἐκ τῆς πατρίδος ἀμφοῖν τοῖν ποδοῖν, αὐτὴν μὲν οὐ μισοῦντ’ ἐκείνην τὴν πόλιν

35 τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα καὶ πᾶσι κοινὴν ἐναποτεῖσαι χρήματα. Οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν’ ἢ δύο

40 ἐπὶ τῶν κραδῶν ᾄδους’, Ἀθηναῖοι δ’ ἀεὶ ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον. Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν, κανοῦν δ’ ἔχοντε καὶ χύτραν καὶ μυρρίνας πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα,

45 ὅποι καθιδρυθέντε διαγενοίμεθ’ ἄν. Ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα, τὸν ἔποπα, παρ’ ἐκείνου πυθέσθαι δεομένω, εἴ που τοιαύτην εἶδε πόλιν ᾗ ’πέπτετο.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

45 Οὗτος.

**ΕΥΕΛΠΙΔΗΣ**

49 Τί ἐστιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

49 Ἡ κορώνη μοι πάλαι

49 ἄνω τι φράζει.

**ΕΥΕΛΠΙΔΗΣ**

49

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χὠ κολοιὸς οὑτοσὶ ἄνω κέχηνεν ὡσπερεὶ δεικνύς τί μοι, κοὐκ ἔσθ’ ὅπως οὐκ ἔστιν ἐνταῦθ’ ὄρνεα. Εἰσόμεθα δ’ αὐτίκ’, ἢν ποήσωμεν ψόφον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

49 Ἀλλ’ οἶσθ’ ὃ δρᾶσον; Τῷ σκέλει θένε τὴν πέτραν.

**ΕΥΕΛΠΙΔΗΣ**

55 Σὺ δὲ τῇ κεφαλῇ γ’, ἵν’ ᾖ διπλάσιος ὁ ψόφος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

55 Σὺ δ’ οὖν λίθῳ κόψον λαβών.

**ΕΥΕΛΠΙΔΗΣ**

56 Πάνυ γ’, εἰ δοκεῖ. Παῖ παῖ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

57 Τί λέγεις, οὗτος; Τὸν ἔποπα παῖ καλεῖς;

57 Οὐκ ἀντὶ τοῦ παιδός σ’ ἐχρῆν ἐποποῖ καλεῖν;

**ΕΥΕΛΠΙΔΗΣ**

57 ’Εποποῖ. Ποήσεις τοί με κόπτειν αὖθις αὖ.

60 ’Εποποῖ.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

60 Τίνες οὗτοι; Τίς ὁ βοῶν τὸν δεσπότην;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

60 Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

60 Οἴμοι τάλας, ὀρνιθοθήρα τουτωί.

**ΕΥΕΛΠΙΔΗΣ**

60 Οὕτω ’στὶ δεινόν; Οὐδὲ κάλλιον λέγειν;

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

60 Ἀπολεῖσθον.

**ΕΥΕΛΠΙΔΗΣ**

64 Ἀλλ’ οὐκ ἐσμὲν ἀνθρώπω.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

64 Τί δαί;

**ΕΥΕΛΠΙΔΗΣ**

65 Ὑποδεδιὼς ἔγωγε, Λιβυκὸν ὄρνεον.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

65 Οὐδὲν λέγεις.

**ΕΥΕΛΠΙΔΗΣ**

66 Καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

66 Ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; Οὐκ ἐρεῖς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

66 Ἐπικεχοδὼς ἔγωγε Φασιανικός.

**ΕΥΕΛΠΙΔΗΣ**

66 Ἀτὰρ σὺ τί θηρίον ποτ’ εἶ, πρὸς τῶν θεῶν;

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

70 Ὄρνις ἔγωγε δοῦλος.

**ΕΥΕΛΠΙΔΗΣ**

70 Ἡττήθης τινὸς ἀλεκτρυόνος;

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

71 Οὔκ, ἀλλ’ ὅτε περ ὁ δεσπότης ἔποψ ἐγένετο, τότε γενέσθαι μ’ ηὔξατο

71 ὄρνιν, ἵν’ ἀκόλουθον διάκονόν τ’ ἔχῃ.

**ΕΥΕΛΠΙΔΗΣ**

71 Δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

75 Οὗτός γ’, ἅτ’, οἶμαι, πρότερον ἄνθρωπός ποτ’ ὤν. Τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς, τρέχω ’π’ ἀφύας ἐγὼ λαβὼν τὸ τρύβλιον· ἔτνους δ’ ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας, τρέχω ’πὶ τορύνην.

**ΕΥΕΛΠΙΔΗΣ**

79 Τροχίλος ὄρνις οὑτοσί.

80 Οἶσθ’ οὖν ὃ δρᾶσον, ὦ τροχίλε; Τὸν δεσπότην ἡμῖν κάλεσον.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

81 Ἀλλ’ ἀρτίως νὴ τὸν Δία εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.

**ΕΥΕΛΠΙΔΗΣ**

81 Ὅμως ἐπέγειρον αὐτόν.

**ΘΕΡΑΠΩΝ ΕΠΟΠΟΣ**

83 Οἶδα μὲν σαφῶς ὅτι ἀχθέσεται, σφῷν δ’ αὐτὸν εἵνεκ’ ἐπεγερῶ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

85 Κακῶς σύ γ’ ἀπόλοι’. Ὥς μ’ ἀπέκτεινας δέει.

**ΕΥΕΛΠΙΔΗΣ**

85 Οἴμοι κακοδαίμων, χὠ κολοιός μοἴχεται ὑπὸ τοῦ δέους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

87 Ὦ δειλότατον σὺ θηρίον, δείσας ἀφῆκας τὸν κολοιόν.

**ΕΥΕΛΠΙΔΗΣ**

88 Εἰπέ μοι, σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

90 Μὰ Δί’ οὐκ ἔγωγε.

**ΕΥΕΛΠΙΔΗΣ**

90 Ποῦ γάρ ἐστιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

90 Ἀπέπτετο.

**ΕΥΕΛΠΙΔΗΣ**

90 Οὐκ ἆρ’ ἀφῆκας; Ὦγάθ’, ὡς ἀνδρεῖος εἶ.

**ΕΠΟΨ**

92 Ἄνοιγε τὴν ὕλην, ἵν’ ἐξέλθω ποτέ.

**ΕΥΕΛΠΙΔΗΣ**

92 Ὦ Ἡράκλεις, τουτὶ τί ποτ’ ἐστὶ θηρίον; Τίς ἡ πτέρωσις; Τίς ὁ τρόπος τῆς τριλοφίας;

**ΕΠΟΨ**

95 Τίνες εἰσί μ’ οἱ ζητοῦντες;

**ΕΥΕΛΠΙΔΗΣ**

95 Οἱ δώδεκα θεοὶ εἴξασιν ἐπιτρῖψαί σε.

**ΕΠΟΨ**

96 Μῶν με σκώπτετον ὁρῶντε τὴν πτέρωσιν; Ἦν γάρ, ὦ ξένοι, ἄνθρωπος.

**ΕΥΕΛΠΙΔΗΣ**

98 Οὐ σοῦ καταγελῶμεν.

**ΕΠΟΨ**

98 Ἀλλὰ τοῦ;

**ΕΥΕΛΠΙΔΗΣ**

98 Τὸ ῥάμφος ἡμῖν σου γέλοιον φαίνεται.

**ΕΠΟΨ**

98 Τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται ἐν ταῖς τραγῳδίαισιν ἐμέ, τὸν Τηρέα.

**ΕΥΕΛΠΙΔΗΣ**

98 Τηρεὺς γὰρ εἶ σύ; Πότερον ὄρνις ἢ ταῶς;

**ΕΠΟΨ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

98 Ὄρνις ἔγωγε.

**ΕΥΕΛΠΙΔΗΣ**

103 Κᾆτά σοι ποῦ τὰ πτερά;

**ΕΠΟΨ**

103 Ἐξερρύηκε.

**ΕΥΕΛΠΙΔΗΣ**

104 Πότερον ὑπὸ νόσου τινός;

**ΕΠΟΨ**

105 Οὔκ, ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα πτερορρυεῖ, κᾆτ’ αὖθις ἕτερα φύομεν. Ἀλλ’ εἴπατόν μοι σφὼ τίν’ ἐστόν;

**ΕΥΕΛΠΙΔΗΣ**

107 Νώ; βροτώ.

**ΕΠΟΨ**

107 Ποδαπὼ τὸ γένος;

**ΕΥΕΛΠΙΔΗΣ**

108 Ὅθεν αἱ τριήρεις αἱ καλαί.

**ΕΠΟΨ**

108 Μῶν ἠλιαστά;

**ΕΥΕΛΠΙΔΗΣ**

109 Μἀλλὰ θἀτέρου τρόπου,
110 ἀπηλιαστά.

**ΕΠΟΨ**

110 Σπείρεται γὰρ τοῦτ’ ἐκεῖ τὸ σπέρμ’;

**ΕΥΕΛΠΙΔΗΣ**

111 Ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.

**ΕΠΟΨ**

111 Πράγους δὲ δὴ τοῦ δεομένω δεῦρ’ ἤλθετον;

**ΕΥΕΛΠΙΔΗΣ**

111 Σοὶ ξυγγενέσθαι βουλομένω.

**ΕΠΟΨ**

113 Τίνος πέρι;

**ΕΥΕΛΠΙΔΗΣ**

113 Ὅτι πρῶτα μὲν ἦσθ’ ἄνθρωπος ὥσπερ νώ ποτε,

115

κἀργύριον ὠφείλησας ὥσπερ νώ ποτε, κοὐκ ἀποδιδοὺς ἔχαιρες ὥσπερ νώ ποτε· εἶτ’ αὖθις ὀρνίθων μεταλλάξας φύσιν καὶ γῆν ἐπέπτου καὶ θάλατταν ἐν κύκλῳ, καὶ πάνθ’ ὅσαπερ ἄνθρωπος ὅσα τ’ ὄρνις φρονεῖς.

Ταῦτ’ οὖν ἱκέται νὼ πρὸς σὲ δεῦρ’ ἀφίγμεθα, εἴ τινα πόλιν φράσειας ἡμῖν εὔερον ὥσπερ σισύραν ἐγκατακλινῆναι μαλθακήν.

**ΕΠΟΨ**

Ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν;

**ΕΥΕΛΠΙΔΗΣ**

Μείζω μὲν οὐδέν, προσφορωτέραν δὲ νῷν.

**ΕΠΟΨ**

Ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν.

**ΕΥΕΛΠΙΔΗΣ**

Ἐγώ; ἥκιστα· καὶ τὸν Σκελλίου βδελύττομαι.

**ΕΠΟΨ**

Ποίαν τιν’ οὖν ἥδιστ’ ἂν οἰκοῖτ’ ἂν πόλιν;

**ΕΥΕΛΠΙΔΗΣ**

Ὅπου τὰ μέγιστα πράγματ’ εἴη τοιάδε. Ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων λέγοι ταδί· «Πρὸς τοῦ Διὸς τοὐλυμπίου ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία λουσάμενα πρῴ· μέλλω γὰρ ἑστιᾶν γάμους· καὶ μηδαμῶς ἄλλως ποιήσῃς· εἰ δὲ μή, μή μοι τότ’ ἔλθῃς, ὅταν ἐγὼ πράττω κακῶς.»

**ΕΠΟΨ**

Νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς. Τί δαὶ σύ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τοιούτων ἐρῶ κἀγώ.

**ΕΠΟΨ**

Τίνων;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ· «Καλῶς γέ μου τὸν υἱόν, ὦ στιλβωνίδη, εὑρὼν ἀπιόντ’ ἀπὸ γυμνασίου λελουμένον οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου, οὐκ ὠρχιπέδισας, ὢν ἐμοὶ πατρικὸς φίλος.»

**ΕΠΟΨ**

Ὦ δειλακρίων σύ, τῶν κακῶν οἵων ἐρᾷς. Ἀτὰρ ἔστι γ’ ὁποίαν λέγετον εὐδαίμων πόλις παρὰ τὴν ἐρυθρὰν θάλατταν.

**ΕΥΕΛΠΙΔΗΣ**

Οἴμοι, μηδαμῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

145 ἡμῖν γε παρὰ θάλατταν, ἵν’ ἀνακύψεται κλητῆρ’ ἄγους’ ἕωθεν ἡ Σαλαμινία. Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι;

**ΕΠΟΨ**

145 Τί οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετον
145 ἐλθόνθ’;

**ΕΥΕΛΠΙΔΗΣ**

145 Ὁτιὴ νὴ τοὺς θεοὺς ὅς’ οὐκ ἰδὼν βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

**ΕΠΟΨ**

145 Ἀλλ’ εἰσὶν ἕτεροι τῆς Λοκρίδος Ὀπούντιοι, ἵνα χρὴ κατοικεῖν.

**ΕΥΕΛΠΙΔΗΣ**

153 Ἀλλ’ ἔγωγ’ Ὀπούντιος οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
155 Οὗτος δὲ δὴ τίς ἐσθ’ ὁ μετ’ ὀρνίθων βίος; Σὺ γὰρ οἶσθ’ ἀκριβῶς.

**ΕΠΟΨ**

156 Οὐκ ἄχαρις εἰς τὴν τριβήν· οὗ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλλαντίου.

**ΕΥΕΛΠΙΔΗΣ**

156 Πολλήν γ’ ἀφεῖλες τοῦ βίου κιβδηλίαν.

**ΕΠΟΨ**

156 Νεμόμεσθα δ’ ἐν κήποις τὰ λευκὰ σήσαμα
160 καὶ μύρτα καὶ μήκωνα καὶ σισύμβρια.

**ΕΥΕΛΠΙΔΗΣ**

160 Ὑμεῖς μὲν ἆρα ζῆτε νυμφίων βίον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

160 Φεῦ φεῦ·
162 Ἦ μέγ’ ἐνορῶ βούλευμ’ ἐν ὀρνίθων γένει, καὶ δύναμιν ἣ γένοιτ’ ἄν, εἰ πίθοισθέ μοι.

**ΕΠΟΨ**

162 Τί σοι πιθώμεσθ’;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

164 Ὅ τι πίθησθε; πρῶτα μὲν
165 μὴ περιπέτεσθε πανταχῇ κεχηνότες· ὡς τοῦτ’ ἄτιμον τοὔργον ἐστίν. Αὐτίκα
165 ἐκεῖ παρ’ ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ· «Τίς ὄρνις οὗτος;» ὁ Τελέας ἐρεῖ ταδί· «Ἄνθρωπος ὄρνις ἀστάθμητος, πετόμενος,
170 ἀτέκμαρτος, οὐδὲν οὐδέποτ’ ἐν ταὐτῷ μένων.»

**ΕΠΟΨ**

170 Νὴ τὸν Διόνυσον εὖ γε μωμᾷ ταυταγί. Τί οὖν ποιῶμεν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

172 Οἰκίσατε μίαν πόλιν.

**ΕΠΟΨ**

172 Ποίαν δ’ ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

172 Ἄληθες, ὦ σκαιότατον εἰρηκὼς ἔπος;
175 Βλέψον κάτω.

**ΕΠΟΨ**

175 Καὶ δὴ βλέπω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

175 Βλέπε νυν ἄνω.

**ΕΠΟΨ**

175 Βλέπω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

176 Περίαγε τὸν τράχηλον.

**ΕΠΟΨ**

176 Νὴ Δία ἀπολαύσομαί 〈τί〉 γ’, εἰ διαστραφήσομαι

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

176 Εἶδές τι;

**ΕΠΟΨ**

178 Τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

178 Οὐχ οὗτος οὖν δήπου ’στὶν ὀρνίθων πόλος;

**ΕΠΟΨ**

180 Πόλος; Τίνα τρόπον;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

180 Ὥσπερ 〈ἂν〉 εἴποι τις τόπος. Ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται ἅπαντα διὰ τούτου, καλεῖται νῦν πόλος. Ἢν δ’ οἰκίσητε τοῦτο καὶ φράξηθ’ ἅπαξ, ἐκ τοῦ πόλου τούτου κεκλήσεται πόλις.
185 Ὥστ’ ἄρξετ’ ἀνθρώπων μὲν ὥσπερ παρνόπων,
185 τοὺς δ’ αὖ θεοὺς ἀπολεῖτε λιμῷ Μηλίῳ.

**ΕΠΟΨ**

185 Πῶς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

187

Ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς. Εἶθ᾽ ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα Πυθώδε, Βοιωτοὺς δίοδον αἰτούμεθα,

οὕτως, ὅταν θύωσιν ἄνθρωποι θεοῖς, ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ θεοί, διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.

**ΕΠΟΨ**

Ἰοῦ ἰοῦ·

μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα,

μὴ ᾽γὼ νόημα κομψότερον ἤκουσά πω· ὥστ᾽ ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν, εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τίς ἂν οὖν τὸ πρᾶγμ᾽ αὐτοῖς διηγήσαιτο;

**ΕΠΟΨ**

Σύ. Ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ

ἐδίδαξα τὴν φωνήν, ξυνὼν πολὺν χρόνον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Πῶς δῆτ᾽ ἂν αὐτοὺς ξυγκαλέσειας;

**ΕΠΟΨ**

Ῥᾳδίως. Δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ᾽ εἰς τὴν λόχμην, ἔπειτ᾽ ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα, καλοῦμεν αὐτούς· οἱ δὲ νῷν τοῦ φθέγματος

ἐάνπερ ἐπακούσωσι θεύσονται δρόμῳ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὦ φίλτατ᾽ ὀρνίθων σύ, μή νυν ἕσταθι· ἀλλ᾽ ἀντιβολῶ ς᾽ ἄγ᾽ ὡς τάχιστ᾽ εἰς τὴν λόχμην

εἴσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

**ΕΠΟΨ**

Ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου,

λῦσον δὲ νόμους ἱερῶν ὕμνων, οὓς διὰ θείου στόματος θρηνεῖς τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν, ἐλελιζομένη διεροῖς μέλεσιν γένυος ξουθῆς. Καθαρὰ χωρεῖ

διὰ φυλλοκόμου μίλακος ἠχὼ πρὸς Διὸς ἕδρας, ἵν᾽ ὁ χρυσοκόμας Φοῖβος ἀκούων τοῖς σοῖς ἐλέγοις ἀντιψάλλων ἐλεφαντόδετον φόρμιγγα θεῶν ἵστησι χορούς·

διὰ δ᾽ ἀθανάτων στομάτων χωρεῖ ξύμφωνος ὁμοῦ θεία μακάρων ὀλολυγή.

**ΕΥΕΛΠΙΔΗΣ**

Ὦ Ζεῦ βασιλεῦ, τοῦ φθέγματος τοὐρνιθίου· οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὗτος.

**ΕΥΕΛΠΙΔΗΣ**

Τί ἐστιν;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὐ σιωπήσει;

**ΕΥΕΛΠΙΔΗΣ**

Τί δαί;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὕποψ μελῳδεῖν αὖ παρασκευάζεται.

**ΕΠΟΨ**

Ἐποποποῖ ποποῖ, ποποποποῖ ποποῖ,
ἰὼ ἰὼ ἴτω ἴτω ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων·
ὅσοι τ᾽ εὐσπόρους ἀγροίκων γύας νέμεσθε, φῦλα μυρία κριθοτράγων σπερμολόγων τε γένη ταχὺ πετόμενα, μαλθακὴν ἱέντα γῆρυν· ὅσα τ᾽ ἐν ἄλοκι θαμὰ
βῶλον ἀμφιτιττυβίζεθ᾽ ὧδε λεπτὸν ἡδομένᾳ φωνᾷ· —τιοτιοτιοτιοτιοτιοτιοτιο— ὅσα θ᾽ ὑμῶν κατὰ κήπους ἐπὶ κισσοῦ κλάδεσι νομὸν ἔχει,
τά τε κατ᾽ ὄρεα τά τε κοτινοτράγα τά τε κομαροφάγα,
ἀνύσατε πετόμενα πρὸς ἐμὰν αὐδάν·
—τριοτο τριοτο τοτοβριξ· — οἵ θ᾽ ἑλείας παρ᾽ αὐλῶνας ὀξυστόμους
ἐμπίδας κάπτεθ᾽, ὅσα τ᾽ εὐδρόσους γῆς τόπους
ἔχετε λειμῶνά τ᾽ ἐρόεντα Μαραθῶνος, ὄρ-
νις 〈τε〉 πτεροποίκιλος, ἀτταγᾶς ἀτταγᾶς·
ὧν τ᾽ ἐπὶ πόντιον οἶδμα θαλάσσης φῦλα μετ᾽ ἀλκυόνεσσι ποτῆται, δεῦρ᾽ ἴτε πευσόμενοι τὰ νεώτερα· πάντα γὰρ ἐνθάδε φῦλ᾽ ἁθροΐζομεν οἰωνῶν ταναοδείρων.
Ἥκει γάρ τις δριμὺς πρέσβυς καινὸς γνώμην
καινῶν ἔργων τ᾽ ἐγχειρητής. Ἀλλ᾽ ἴτ᾽ εἰς λόγους ἅπαντα, δεῦρο δεῦρο δεῦρο δεῦρο·
τοροτοροτοροτοροτιξ, κικκαβαυ κικκαβαυ, τοροτοροτορολιλιλιξ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὁρᾷς τιν᾽ ὄρνιν;

**ΕΥΕΛΠΙΔΗΣ**

Μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ. Καίτοι κέχηνά γ᾽ εἰς τὸν οὐρανὸν βλέπων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἄλλως ἄρ᾽ οὔποψ, ὡς ἔοικ᾽, εἰς τὴν λόχμην ἐμβὰς ἐπῶζε χαραδριὸν μιμούμενος.

**ΟΡΝΙΣ**

Τοροτιξ τοροτιξ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὦγάθ᾽, ἀλλ᾽ 〈οὖν〉 οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.

**ΕΥΕΛΠΙΔΗΣ**

Νὴ Δί᾽ ὄρνις δῆτα. Τίς ποτ᾽ ἐστίν; Οὐ δήπου ταὧς;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

270 Οὗτος αὐτὸς νῷν φράσει. Τίς ἐστιν ὄρνις οὑτοσί;

**ΕΠΟΨ**

270 Οὗτος οὐ τῶν ἠθάδων τῶνδ’ ὧν ὁρᾶθ’ ὑμεῖς ἀεί, ἀλλὰ λιμναῖος.

**ΕΥΕΛΠΙΔΗΣ**

272 Βαβαῖ, καλός γε καὶ φοινικιοῦς.

**ΕΠΟΨ**

272 Εἰκότως 〈γε〉 · καὶ γὰρ ὄνομ’ αὐτῷ ’στὶ φοινικόπτερος.

**ΕΥΕΛΠΙΔΗΣ**

272 Οὗτος, ὦ—σέ τοι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

274 Τί βωστρεῖς;

**ΕΥΕΛΠΙΔΗΣ**

274 Ἕτερος ὄρνις οὑτοσί.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

275 Νὴ Δί’ ἕτερος δῆτα χοὗτος ἔξεδρον χώραν ἔχων. Τίς ποτ’ ἔσθ’ ὁ μουσόμαντις, ἄτοπος ὄρνις, ὀρειβάτης;

**ΕΠΟΨ**

275 Ὄνομα τούτῳ Μῆδός ἐστι.

**ΕΥΕΛΠΙΔΗΣ**

277 Μῆδος; Ὦναξ Ἡράκλεις. Εἶτα πῶς ἄνευ καμήλου Μῆδος ὢν εἰσέπτετο;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

277 Ἕτερος αὖ λόφον κατειληφώς τις ὄρνις οὑτοσί.

**ΕΥΕΛΠΙΔΗΣ**

280 Τί τὸ τέρας τουτί ποτ’ ἐστίν; Οὐ σὺ μόνος ἄρ’ ἦσθ’ ἔποψ, ἀλλὰ χοὗτος ἕτερος;

**ΕΠΟΨ**

281 Οὑτοσὶ μέν ἐστι Φιλοκλέους ἐξ ἔποπος, ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις Ἱππόνικος Καλλίου κἀξ Ἱππονίκου Καλλίας.

**ΕΥΕΛΠΙΔΗΣ**

281 Καλλίας ἄρ’ οὗτος οὕρνις ἐστίν. Ὡς πτερορρυεῖ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

285 Ἅτε γὰρ ὢν γενναῖος ὑπό 〈τε〉 συκοφαντῶν τίλλεται, αἵ τε θήλειαι πρὸς ἐκτίλλουσιν αὐτοῦ τὰ πτερά.

**ΕΥΕΛΠΙΔΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

285 Ὦ Πόσειδον, ἕτερος αὖ τις βαπτὸς ὄρνις οὑτοσί. Τίς ὀνομάζεταί ποθ’ οὗτος;

**ΕΠΟΨ**

288 Οὑτοσὶ κατωφαγᾶς.

**ΕΥΕΛΠΙΔΗΣ**

288 Ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

290 Πῶς ἂν οὖν Κλεώνυμός γ’ ὢν οὐκ ἀπέβαλε τὸν λόφον;

**ΕΥΕΛΠΙΔΗΣ**

290 Ἀλλὰ μέντοι τίς ποθ’ ἡ λόφωσις ἡ τῶν ὀρνέων; Ἦ ’πὶ τὸν δίαυλον ἦλθον;

**ΕΠΟΨ**

292 Ὥσπερ οἱ Κᾶρες μὲν οὖν ἐπὶ λόφων οἰκοῦσιν, ὦγάθ’, ἀσφαλείας οὕνεκα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

292 Ὦ Πόσειδον, οὐχ ὁρᾷς ὅσον συνείλεκται κακὸν
295 ὀρνέων;

**ΕΥΕΛΠΙΔΗΣ**

295 Ὦναξ Ἄπολλον, τοῦ νέφους. Ἰοὺ ἰού, οὐδ’ ἰδεῖν ἔτ’ ἔσθ’ ὑπ’ αὐτῶν πετομένων τὴν εἴσοδον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

295 Οὑτοσὶ πέρδιξ.

**ΕΥΕΛΠΙΔΗΣ**

297 Ἐκεινοσὶ δὲ νὴ Δί’ ἀτταγᾶς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

297 Οὑτοσὶ δὲ πηνέλοψ.

**ΕΥΕΛΠΙΔΗΣ**

298 Ἐκεινηὶ δέ γ’ ἀλκυών. Τίς γάρ ἐσθ’ οὕπισθεν αὐτῆς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

299 Ὅστις ἐστί; κειρύλος.

**ΕΥΕΛΠΙΔΗΣ**

299 Κειρύλος γάρ ἐστιν ὄρνις;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

299 Οὐ γάρ ἐστι Σποργίλος;

**ΕΠΟΨ**

299 Χαὐτηί γε γλαῦξ.

**ΕΥΕΛΠΙΔΗΣ**

301

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τί φῄς; Τίς γλαῦκ’ Ἀθήναζ’ ἤγαγεν;

**ΕΠΟΨ**

301 Κίττα, τρυγών, κορυδός, ἐλεᾶς, ὑποθυμίς, περιστερά, νέρτος, ἱέραξ, φάττα, κόκκυξ, ἐρυθρόπους, κεβλήπυρις,

304-305 πορφυρίς, κερχνῄς, κολυμβίς, ἀμπελίς, φήνη, δρύοψ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

306 Ἰοὺ ἰού, τῶν ὀρνέων.

**ΕΥΕΛΠΙΔΗΣ**

306 Ἰοὺ ἰού, τῶν κοψίχων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

306 Οἷα πιπίζουσι καὶ τρέχουσι διακεκραγότες.

**ΕΥΕΛΠΙΔΗΣ**

306 Ἆρ’ ἀπειλοῦσίν γε νῷν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

308 Οἴμοι, κεχήνασίν γέ τοι καὶ βλέπουσιν εἰς σὲ κἀμέ.

**ΕΥΕΛΠΙΔΗΣ**

309 Τοῦτο μὲν κἀμοὶ δοκεῖ.

**ΧΟΡΟΣ**

310-311 Ποποποποποπο ποῦ μ’ ὃς ἐκάλεσε; Τίνα τόπον ἄρα νέμεται;

**ΕΠΟΨ**

312-313 Οὑτοσὶ πάλαι πάρειμι κοὐκ ἀποστατῶ φίλων.

**ΧΟΡΟΣ**

314-315 Τιτιτιτιτιτιτι τίνα λόγον ἄρα ποτὲ πρὸς ἐμὲ φίλον ἔχων;

**ΕΠΟΨ**

316 Κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον.

317-318 Ἄνδρε γὰρ λεπτὼ λογιστὰ δεῦρ’ ἀφῖχθον ὡς ἐμέ.

**ΧΟΡΟΣ**

319 Ποῦ; πᾷ; πῶς φῄς;

**ΕΠΟΨ**

320 Φήμ’ ἀπ’ ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο· ἥκετον δ’ ἔχοντε πρέμνον πράγματος πελωρίου.

**ΧΟΡΟΣ**

320 Ὦ μέγιστον ἐξαμαρτὼν ἐξ ὅτου ’τράφην ἐγώ, πῶς λέγεις;

**ΕΠΟΨ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μήπω φοβηθῇς τὸν λόγον.

**ΧΟΡΟΣ**

Τί μ’ ἠργάσω;

**ΕΠΟΨ**

Ἄνδρ’ ἐδεξάμην ἐραστὰ τῆσδε τῆς ξυνουσίας.

**ΧΟΡΟΣ**

Καὶ δέδρακας τοῦτο τοὔργον;

**ΕΠΟΨ**

Καὶ δεδρακώς γ’ ἥδομαι.

**ΧΟΡΟΣ**

Κἀστὸν ἤδη που παρ’ ἡμῖν;

**ΕΠΟΨ**

Εἰ παρ’ ὑμῖν εἴμ’ ἐγώ.

**ΧΟΡΟΣ**

Ἔα ἔα· προδεδόμεθ’ ἀνόσιά τ’ ἐπάθομεν· ὃς γὰρ φίλος ἦν ὁμότροφά θ’ ἡμῖν ἐνέμετο
πεδία παρ’ ἡμῖν, παρέβη μὲν θεσμοὺς ἀρχαίους, παρέβη δ’ ὅρκους ὀρνίθων. Εἰς δὲ δόλον ἐκάλεσε, παρέβαλέ τ’ ἐμὲ παρὰ γένος ἀνόσιον, ὅπερ ἐξότ’ ἐγένετ’ ἐπ’ ἐμοὶ
πολέμιον ἐτράφη.
Ἀλλὰ πρὸς τοῦτον μὲν ἡμῖν ἐστιν ὕστερος λόγος· τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην διαφορηθῆναί θ’ ὑφ’ ἡμῶν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὡς ἀπωλόμεσθ’ ἄρα.

**ΕΥΕΛΠΙΔΗΣ**

Αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
Ἐπὶ τί γάρ μ’ ἐκεῖθεν ἦγες;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἵν’ ἀκολουθοίης ἐμοί.

**ΕΥΕΛΠΙΔΗΣ**

Ἵνα μὲν οὖν κλάοιμι μεγάλα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τοῦτο μὲν ληρεῖς ἔχων κάρτα· πῶς κλαύσει γάρ, ἢν ἅπαξ γε τὠφθαλμὼ ’κκοπῇς;

**ΧΟΡΟΣ**

Ἰὼ ἰώ· ἔπαγ’ ἔπιθ’ ἐπίφερε πολέμιον ὁρμὰν
φονίαν, πτέρυγά τε παντᾷ περίβαλε περί τε κύκλωσαι· ὡς δεῖ τώδ’ οἰμώζειν ἄμφω
καὶ δοῦναι ῥύγχει φορβάν. Οὔτε γὰρ ὄρος σκιερὸν οὔτε νέφος αἰθέριον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

345 οὔτε πολιὸν πέλαγος ἔστιν ὅ τι δέξεται τώδ’ ἀποφυγόντε με.

351 Ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν. Ποῦ ’σθ’ ὁ ταξίαρχος; Ἐπαγέτω τὸ δεξιὸν κέρας.

**ΕΥΕΛΠΙΔΗΣ**

351 Τοῦτ’ ἐκεῖνο. Ποῖ φύγω δύστηνος;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

354 Οὗτος, οὐ μενεῖς;

**ΕΥΕΛΠΙΔΗΣ**

355 Ἵν’ ὑπὸ τούτων διαφορηθῶ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

355 Πῶς γὰρ ἂν τούτους δοκεῖς ἐκφυγεῖν;

**ΕΥΕΛΠΙΔΗΣ**

356 Οὐκ οἶδ’ ὅπως ἄν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

356 Ἀλλ’ ἐγώ τοι σοι λέγω, ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν χυτρῶν.

**ΕΥΕΛΠΙΔΗΣ**

356 Τί δὲ χύτρα νὼ ’πωφελήσει;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

358 Γλαῦξ μὲν οὐ πρόσεισι νῷν.

**ΕΥΕΛΠΙΔΗΣ**

358 Τοῖς δὲ γαμψώνυξι τοισδί;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

359 Τὸν ὀβελίσκον ἁρπάσας
360 εἶτα κατάπηξον πρὸ σαυτοῦ.

**ΕΥΕΛΠΙΔΗΣ**

360 Τοῖσι δ’ ὀφθαλμοῖσι τί;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

360 Ὀξύβαφον ἐντευθενὶ προθοῦ λαβὼν ἢ τρύβλιον.

**ΕΥΕΛΠΙΔΗΣ**

360 Ὦ σοφώτατ’, εὖ γ’ ἀνηῦρες αὐτὸ καὶ στρατηγικῶς· ὑπερακοντίζεις σύ γ’ ἤδη Νικίαν ταῖς μηχαναῖς·

**ΧΟΡΟΣ**

360 Ἐλελελεῦ· χώρει, κάθες τὸ ῥύγχος· οὐ μέλλειν ἐχρῆν.
365 Ἕλκε, τίλλε, παῖε, δεῖρε· κόπτε πρώτην τὴν χύτραν.

**ΕΠΟΨ**

Εἰπέ μοι, τί μέλλετ’, ὦ πάντων κάκιστα θηρίων, ἀπολέσαι παθόντες οὐδὲν ἄνδρε καὶ διασπάσαι τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενεῖ καὶ φυλέτα;

**ΧΟΡΟΣ**

Φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς ἢ λύκων;
Ἢ τίνας τεισαίμεθ’ ἄλλους τῶνδ’ ἂν ἐχθίους ἔτι;

**ΕΠΟΨ**

Εἰ δὲ τὴν φύσιν μὲν ἐχθροί, τὸν δὲ νοῦν εἰσιν φίλοι, καὶ διδάξοντές τι δεῦρ’ ἥκουσιν ὑμᾶς χρήσιμον;

**ΧΟΡΟΣ**

Πῶς δ’ ἂν οἵδ’ ἡμᾶς τι χρήσιμον διδάξειάν ποτε ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμοῖς;

**ΕΠΟΨ**

Ἀλλ’ ἀπ’ ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί. Ἡ γὰρ εὐλάβεια σῴζει πάντα. Παρὰ μὲν οὖν φίλου οὐ μάθοις ἂν τοῦθ’, ὁ δ’ ἐχθρὸς εὐθὺς ἐξηνάγκασεν. Αὐτίχ’ αἱ πόλεις παρ’ ἀνδρῶν ἔμαθον ἐχθρῶν κοὐ φίλων ἐκπονεῖν θ’ ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακράς·
τὸ δὲ μάθημα τοῦτο σῴζει παῖδας, οἶκον, χρήματα.

**ΧΟΡΟΣ**

Ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δοκεῖ, χρήσιμον· μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. Ἄναγ’ ἐπὶ σκέλος.

**ΕΠΟΨ**

Καὶ δίκαιόν γ’ ἐστὶ κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.

**ΧΟΡΟΣ**

Ἀλλὰ μὴν οὐδ’ ἄλλο σοί πω πρᾶγμ’ ἐνηντιώμεθα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μᾶλλον εἰρήνην ἄγουσιν. Ὥστε τὴν χύτραν καθίει·
καὶ τὸ δόρυ χρή, τὸν ὀβελίσκον, περιπατεῖν ἔχοντας ἡμᾶς
τῶν ὅπλων ἐντός, παρ’ αὐτὴν τὴν χύτραν ἄκραν ὁρῶντας τἀγγύς· ὡς οὐ φευκτέον νῷν.

**ΕΥΕΛΠΙΔΗΣ**

Ἐτεὸν ἢν δ’ ἄρ’ ἀποθάνωμεν, κατορυχησόμεσθα ποῦ γῆς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὁ Κεραμεικὸς δέξεται νώ. Δημοσίᾳ γὰρ ἵνα ταφῶμεν, φήσομεν πρὸς τοὺς στρατηγοὺς μαχομένω τοῖς πολεμίοισιν ἀποθανεῖν ἐν Ὀρνεαῖς.

**ΧΟΡΟΣ**

Ἄναγ’ εἰς τάξιν πάλιν εἰς ταὐτόν, καὶ τὸν θυμὸν κατάθου κύψας παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης·
κἀναπυθώμεθα τούσδε τίνες ποτὲ
[καὶ] πόθεν ἔμολον [ἐπὶ] τίνα τ’ ἐπίνοιαν.
Ἰώ, ἔποψ, σέ τοι καλῶ.

**ΕΠΟΨ**

Καλεῖς δὲ τοῦ κλύειν θέλων;

**ΧΟΡΟΣ**

Τίνες ποθ’ οἵδε καὶ πόθεν;

**ΕΠΟΨ**

Ξένω σοφῆς ἀφ’ Ἑλλάδος.

**ΧΟΡΟΣ**

Τύχη δὲ ποία κομίζει ποτ’ αὐτὼ πρὸς ὄρνιθας ἐλθεῖν;

**ΕΠΟΨ**

Ἔρως βίου διαίτης τέ σου
καὶ ξυνοικεῖν τέ σοι
καὶ ξυνεῖναι τὸ πᾶν.

**ΧΟΡΟΣ**

Τί φῄς; Λέγουσιν δὲ δὴ τίνας λόγους;

**ΕΠΟΨ**

Ἄπιστα καὶ πέρα κλύειν.

**ΧΟΡΟΣ**

Ὁρᾷ τι κέρδος ἐνθάδ’ ἄξιον μονῆς, ὅτῳ πέποιθ’ ἐμοὶ ξυνὼν
κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν ἢ φίλοισιν ὠφελεῖν ἔχειν;

**ΕΠΟΨ**

Λέγει μέγαν τιν’ ὄλβον οὔτε λεκτὸν οὔτε πιστόν· ὡς σὰ πάντα καὶ
τὸ τῇδε καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο προσβιβᾷ λέγων.

**ΧΟΡΟΣ**

Πότερα μαινόμενος;

**ΕΠΟΨ**

Ἄφατον ὡς φρόνιμος.

**ΧΟΡΟΣ**

Ἔνι σοφόν τι φρενί;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΠΟΨ**

430 Πυκνότατον κίναδος, σόφισμα, κύρμα, τρῖμμα, παιπάλημ’ ὅλον.

**ΧΟΡΟΣ**

430 Λέγειν λέγειν κέλευέ μοι. Κλύων γὰρ ὧν σύ μοι λέγεις

433 λόγων ἀνεπτέρωμαι.

**ΕΠΟΨ**

433 Ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν μὲν πάλιν

435 ταύτην λαβόντε κρεμάσατον τύχἀγαθῇ

435 είς τὸν ἰπνὸν εἴσω πλησίον τοὐπιστάτου· σὺ δὲ τούσδ’ ἐφ’ οἷσπερ τοῖς λόγοις ξυνέλεξ’ ἐγὼ φράσον, δίδαξον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

438 Μὰ τὸν Ἀπόλλω ’γὼ μὲν οὔ, ἢν μὴ διάθωνταί γ’ οἵδε διαθήκην ἐμοὶ

440 ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο, ὁ μαχαιροποιός, μήτε δάκνειν τούτους ἐμὲ μήτ’ ὀρχίπεδ’ ἕλκειν μήτ’ ὀρύττειν—

**ΕΥΕΛΠΙΔΗΣ**

442 Οὔ τί που τόνδ’;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

443 Οὐδαμῶς. Οὔκ, ἀλλὰ τὠφθαλμὼ λέγω.

**ΧΟΡΟΣ**

443 Διατίθεμαι ’γώ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

444 Κατόμοσόν νυν ταῦτά μοι.

**ΧΟΡΟΣ**

445 Ὄμνυμ’ ἐπὶ τούτοις, πᾶσι νικᾶν τοῖς κριταῖς καὶ τοῖς θεαταῖς πᾶσιν, —

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

446 Ἔσται ταυταγί.

**ΧΟΡΟΣ**

446 εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.

**ΕΠΟΨ**

446 Ἀκούετε λεῴ· τοὺς ὁπλίτας νυνμενὶ ἀνελομένους θὤπλ’ ἀπιέναι πάλιν οἴκαδε,

446 σκοπεῖν δ’ ὅ τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.

**ΧΟΡΟΣ**

446 Δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον πέφυκεν ἄνθρωπος· σὺ δ’ ὅμως λέγε μοι. Τάχα γὰρ τύχοις ἂν Χρηστὸν ἐξειπὼν ὅ τι μοι παρορᾷς, ἢ

455 δύναμίν τινα μείζω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραλειπομένην ὑπ’ ἐμῆς φρενὸς ἀ- ξυνέτου· σὺ δὲ τοῦθ’ οὑρᾷς λέγ’ εἰς κοινόν. Ὃ γὰρ ἂν σὺ τύχῃς μοι ἀγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.

Ἀλλ’ ἐφ’ ὅτῳπερ πράγματι τὴν σὴν ἥκεις γνώμην ἀναπείσας, λέγε θαρρήσας· ὡς τὰς σπονδὰς οὐ μὴ πρότερον παραβῶμεν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Καὶ μὴν ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι, ὃν διαμάττειν οὐ κωλύει. Φέρε, παῖ, στέφανον· καταχεῖσθαι κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις.

**ΕΥΕΛΠΙΔΗΣ**

Δειπνήσειν μέλλομεν; Ἢ τί;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μὰ Δί’ ἀλλὰ λέγειν ζητῶ τι πάλαι, μέγα καὶ λαρινὸν ἔπος τι, ὅ τι τὴν τούτων θραύσει ψυχήν. Οὕτως ὑμῶν ὑπεραλγῶ, οἵτινες ὄντες πρότερον βασιλῆς—

**ΧΟΡΟΣ**

Ἡμεῖς βασιλῆς; τίνος;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὑμεῖς πάντων ὁπός’ ἔστιν, ἐμοῦ πρῶτον, τουδί, καὶ τοῦ Διὸς αὐτοῦ, ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγένεσθε, καὶ Γῆς.

**ΧΟΡΟΣ**

Καὶ Γῆς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Νὴ τὸν Ἀπόλλω.

**ΧΟΡΟΣ**

Τουτὶ μὰ Δί’ οὐκ ἐπεπύσμην.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ’ Αἴσωπον πεπάτηκας, ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι, προτέραν τῆς γῆς, κἄπειτα νόσῳ τὸν πατέρ’ αὐτῆς ἀποθνῄσκειν· γῆν δ’ οὐκ εἶναι, τὸν δὲ προκεῖσθαι πεμπταῖον· τὴν δ’ ἀποροῦσαν ὑπ’ ἀμηχανίας τὸν πατέρ’ αὑτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.

**ΕΥΕΛΠΙΔΗΣ**

Ὁ πατὴρ ἄρα τῆς κορυδοῦ νυνὶ κεῖται τεθνεὼς Κεφαλῆσιν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὔκουν δῆτ’ εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν ἐγένοντο, ὡς πρεσβυτάτων ὄντων αὐτῶν ὀρθῶς ἐσθ’ ἡ βασιλεία;

**ΕΥΕΛΠΙΔΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

475 Νὴ τὸν Ἀπόλλω. Πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν σε τὸ λοιπόν·

480 οὐκ ἀποδώσει ταχέως ὁ Ζεὺς τὸ σκῆπτρον τῷ δρυκολάπτῃ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

480 Ὡς δ’ οὐχὶ θεοὶ τοίνυν ἦρχον τῶν ἀνθρώπων τὸ παλαιόν, ἀλλ’ ὄρνιθες, κἀβασίλευον, πόλλ’ ἐστὶ τεκμήρια τούτων. Αὐτίκα δ’ ὑμῖν πρῶτ’ ἐπιδείξω τὸν ἀλεκτρυόν’, ὡς ἐτυράννει ἦρχέ τε Περσῶν πρῶτος πάντων Δαρείων καὶ Μεγαβάζων,

485 ὥστε καλεῖται Περσικὸς ὄρνις ἀπὸ τῆς ἀρχῆς ἔτ’ ἐκείνης.

**ΕΥΕΛΠΙΔΗΣ**

485 Διὰ ταῦτ’ ἄρ’ ἔχων καὶ νῦν ὥσπερ βασιλεὺς ὁ μέγας διαβάσκει ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν τῶν ὀρνίθων μόνος ὀρθήν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

485 Οὕτω δ’ ἴσχυέ τε καὶ μέγας ἦν τότε καὶ πολύς, ὥστ’ ἔτι καὶ νῦν ὑπὸ τῆς ῥώμης τῆς τότ’ ἐκείνης, ὁπόταν μόνον ὄρθριον ᾄσῃ,

490 ἀναπηδῶσιν πάντες ἐπ’ ἔργον, χαλκῆς, κεραμῆς, σκυλοδέψαι, σκυτῆς, βαλανῆς, ἀλφιταμοιβοί, τορνευτολυρασπιδοπηγοί· οἱ δὲ βαδίζους’ ὑποδησάμενοι νύκτωρ.

**ΕΥΕΛΠΙΔΗΣ**

492 Ἐμὲ τοῦτό γ’ ἐρώτα. Χλαῖναν γὰρ ἀπώλεσ’ ὁ μοχθηρὸς Φρυγίων ἐρίων διὰ τοῦτον. Εἰς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς ὑπέπινον ἐν ἄστει,

495 κἄρτι καθηῦδον· καὶ πρὶν δειπνεῖν τοὺς ἄλλους οὗτος ἄρ’ ᾖσεν· κἀγὼ νομίσας ὄρθρον ἐχώρουν Ἁλιμουντάδε, κἄρτι προκύπτω ἔξω τείχους καὶ λωποδύτης παίει ῥοπάλῳ με τὸ νῶτον· κἀγὼ πίπτω μέλλω τε βοᾶν, ὁ δ’ ἀπέβλισε θοἰμάτιόν μου.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

495 Ἰκτῖνος δ’ οὖν τῶν Ἑλλήνων ἦρχεν τότε κἀβασίλευεν.

**ΧΟΡΟΣ**

495 Τῶν Ἑλλήνων;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

495 Καὶ κατέδειξέν 〈γ’〉 οὗτος πρῶτος βασιλεύων προκυλινδεῖσθαι τοῖς ἰκτίνοις.

**ΕΥΕΛΠΙΔΗΣ**

501 Νὴ τὸν Διόνυσον, ἐγὼ γοῦν ἐκυλινδούμην ἰκτῖνον ἰδών· κᾆθ’ ὕπτιος ὢν ἀναχάσκων ὀβολὸν κατεβρόχθισα· κᾆτα κενὸν τὸν θύλακον οἴκαδ’ ἀφεῖλκον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

501 Αἰγύπτου δ’ αὖ καὶ Φοινίκης πάσης κόκκυξ βασιλεὺς ἦν·

505 χὠπόθ’ ὁ κόκκυξ εἴποι «κόκκυ,» τότ’ 〈ἂν〉 οἱ Φοίνικες ἅπαντες τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίοις ἐθέριζον.

**ΕΥΕΛΠΙΔΗΣ**

505 Τοῦτ’ ἄρ’ ἐκεῖν’ ἦν τοὖπος ἀληθῶς· «Κόκκυ, ψωλοί, πεδίονδε.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἦρχον δ᾽ οὕτω σφόδρα τὴν ἀρχήν, ὥστ᾽ εἴ τις καὶ βασιλεύοι ἐν ταῖς πόλεσιν τῶν Ἑλλήνων Ἀγαμέμνων ἢ Μενέλαος,
ἐπὶ τῶν σκήπτρων ἐκάθητ᾽ ὄρνις μετέχων ὅ τι δωροδοκοίη.

**ΕΥΕΛΠΙΔΗΣ**

Τουτὶ τοίνυν οὐκ ᾔδη ᾽γώ· καὶ δῆτά μ᾽ ἐλάμβανε θαῦμα, ὁπότ᾽ ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι τραγῳδοῖς, ὁ δ᾽ ἄρ᾽ εἱστήκει τὸν Λυσικράτη τηρῶν ὅ τι δωροδοκοίη.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὃ δὲ δεινότατόν 〈γ᾽〉 ἐστὶν ἁπάντων, ὁ Ζεὺς γὰρ ὁ νῦν βασιλεύων
αἰετὸν ὄρνιν ἕστηκεν ἔχων ἐπὶ τῆς κεφαλῆς βασιλεὺς ὤν, ἡ δ᾽ αὖ θυγάτηρ γλαῦχ᾽, ὁ δ᾽ Ἀπόλλων ὥσπερ θεράπων ἱέρακα.

**ΕΥΕΛΠΙΔΗΣ**

Νὴ τὴν Δήμητρ᾽ εὖ ταῦτα λέγεις. Τίνος οὕνεκα ταῦτ᾽ ἄρ᾽ ἔχουσιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἵν᾽ ὅταν θύων τις ἔπειτ᾽ αὐτοῖς εἰς τὴν χεῖρ᾽, ὡς νόμος ἐστίν, τὰ σπλάγχνα διδῷ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ σπλάγχνα λάβωσιν.
Ὤμνυ τ᾽ οὐδεὶς τότ᾽ 〈ἂν〉 ἀνθρώπων θεόν, ἀλλ᾽ ὄρνιθας ἅπαντες.

**ΕΥΕΛΠΙΔΗΣ**

Λάμπων δ᾽ ὄμνυσ᾽ ἔτι καὶ νυνὶ τὸν χῆν᾽, ὅταν ἐξαπατᾷ τι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους τ᾽ ἐνόμιζον, νῦν δ᾽ ἀνδράποδ᾽, ἠλιθίους, Μανᾶς. Ὥσπερ δ᾽ ἤδη τοὺς μαινομένους
βάλλουσ᾽ ὑμᾶς. Κἀν τοῖς ἱεροῖς πᾶς τις ἐφ᾽ ὑμῖν ὀρνιθευτὴς ἵστησι βρόχους, παγίδας, ῥάβδους, ἕρκη, νεφέλας, δίκτυα, πηκτάς· εἶτα λαβόντες πωλοῦσ᾽ ἁθρόους·
οἱ δ᾽ ὠνοῦνται βλιμάζοντες· κοὐδ᾽ οὖν, εἴπερ ταῦτα δοκεῖ δρᾶν, ὀπτησάμενοι παρέθενθ᾽ ὑμᾶς, ἀλλ᾽ ἐπικνῶσιν τυρόν, ἔλαιον, σίλφιον, ὄξος, καὶ τρίψαντες
κατάχυσμ᾽ ἕτερον γλυκὺ καὶ λιπαρόν, κἄπειτα κατεσκέδασαν θερμὸν τοῦτο καθ᾽ ὑμῶν, αὔων ὥσπερ κενεβρείων.

**ΧΟΡΟΣ**

Πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους
ἤνεγκας, ἄνθρωφ᾽· ὡς ἐδάκρυσά γ᾽ ἐμῶν πατέρων κάκην, οἳ τάσδε τὰς τιμὰς προγόνων παραδόντων ἐπ᾽ ἐμοὶ κατέλυσαν. Σὺ δέ μοι κατὰ δαίμονα καί 〈τινα〉 συν-
τυχίαν ἀγαθὴν
ἥκεις ἐμοὶ σωτήρ. Ἀναθεὶς γὰρ ἐγώ σοι τὰ νεόττια κἀμαυτὸν οἰκετεύσω.
Ἀλλ᾽ ὅ τι χρὴ δρᾶν, σὺ δίδασκε παρών· ὡς ζῆν οὐκ ἄξιον ἡμῖν, εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασιλείαν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

547 Καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι, κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς ὥσπερ Βαβυλῶνα.

**ΕΥΕΛΠΙΔΗΣ**

547 Ὦ Κεβριόνα καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

547 Κἀπειδὰν τοῦτ᾽ ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί᾽ ἀπαιτεῖν·

555 κἂν μὲν μὴ φῇ μηδ᾽ ἐθελήσῃ μηδ᾽ εὐθὺς γνωσιμαχήσῃ, ἱερὸν πόλεμον πρωυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν, ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέβαινον καὶ τὰς Ἀλόπας καὶ τὰς Σεμέλας· ἤνπερ δ᾽ ἐπίωσ᾽, ἐπιβάλλειν

560 σφραγῖδ᾽ αὐτοῖς ἐπὶ τὴν ψωλήν, ἵνα μὴ βινῶσ᾽ ἔτ᾽ ἐκείνας. Τοῖς δ᾽ ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω, ὡς ὀρνίθων βασιλευόντων θύειν ὄρνισι τὸ λοιπόν,

560 κἄπειτα θεοῖς ὕστερον αὖθις· προσνείμασθαι δὲ πρεπόντως τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόττῃ καθ᾽ ἕκαστον·

565 Ἢν Ἀφροδίτῃ θύῃ, κριθὰς ὄρνιθι φαληρίδι θύειν· ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καθαγίζειν· ἢν δ᾽ Ἡρακλέει θύησι, λάρῳ ναστοὺς θύειν μελιτοῦντας· κἂν Διὶ θύῃ βασιλεῖ κριόν, βασιλεύς ἐστ᾽ ὀρχίλος ὄρνις, ᾧ προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ σέρφον ἐνόρχην σφαγιάζειν.

**ΕΥΕΛΠΙΔΗΣ**

570 Ἥσθην σέρφῳ σφαγιαζομένῳ. Βροντάτω νῦν ὁ μέγας Ζάν.

**ΧΟΡΟΣ**

570 Καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι κοὐχὶ κολοιούς, οἳ πετόμεσθα πτέρυγάς τ᾽ ἔχομεν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

572 Ληρεῖς. Καὶ νὴ Δί᾽ ὅ γ᾽ Ἑρμῆς πέτεται θεὸς ὢν πτέρυγάς τε φορεῖ, κἄλλοι γε θεοὶ πάνυ πολλοί. Αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυσαῖν καὶ νὴ Δί᾽ Ἔρως γε·

575 Ἶριν δέ γ᾽ Ὅμηρος ἔφασκ᾽ ἰκέλην εἶναι τρήρωνι πελείῃ.

**ΕΥΕΛΠΙΔΗΣ**

575 Ὁ Ζεὺς δ᾽ ἡμῖν οὐ βροντήσας πέμψει πτερόεντα κεραυνόν;

**ΧΟΡΟΣ**

575 Ἢν δ᾽ οὖν ἡμᾶς μὲν ὑπ᾽ ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν, τούτους δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

578 Τότε χρὴ στρούθων νέφος ἀρθὲν καὶ σπερμολόγων ἐκ τῶν ἀγρῶν τὸ σπέρμ᾽ αὐτῶν ἀνακάψαι·

580 κἄπειτ᾽ αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι μετρείτω.

**ΕΥΕΛΠΙΔΗΣ**

580 Οὐκ ἐθελήσει μὰ Δί᾽, ἀλλ᾽ ὄψει προφάσεις αὐτὴν παρέχουσαν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

580 Οἱ δ᾽ αὖ κόρακες τῶν ζευγαρίων, οἷσιν τὴν γῆν καταροῦσιν, καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων ἐπὶ πείρᾳ· εἶθ᾽ Ἀπόλλων ἰατρός 〈γ᾽〉 ὢν ἰάσθω· μισθοφορεῖ δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΕΛΠΙΔΗΣ**

Μή, πρίν γ’ ἂν ἐγὼ τὼ βοιδαρίω τὠμὼ πρώτιστ’ ἀποδῶμαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἢν δ’ ἡγῶνται σὲ θεόν, σὲ βίον, σὲ δὲ Γῆν, σὲ Κρόνον, σὲ Ποσειδῶ, ἀγάθ’ αὐτοῖσιν πάντα παρέσται.

**ΧΟΡΟΣ**

Λέγε δή μοι τῶν ἀγαθῶν ἕν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ κατέδονται, ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς καὶ κερχνῄδων ἐπιτρίψει.

Εἶθ’ οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται, ἀλλ’ ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία κιχλῶν.

**ΧΟΡΟΣ**

Πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου σφόδρ’ ἐρῶσιν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τὰ μέταλλ’ αὐτοῖς μαντευομένοις οὗτοι δώσουσι τὰ χρηστά,

τάς τ’ ἐμπορίας τὰς κερδαλέας πρὸς τὸν μάντιν κατεροῦσιν,

ὥστ’ ἀπολεῖται τῶν ναυκλήρων οὐδείς.

**ΧΟΡΟΣ**

Πῶς οὐκ ἀπολεῖται;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ· «Νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται.» «Νυνὶ πλεῖ, κέρδος ἐπέσται.»

**ΕΥΕΛΠΙΔΗΣ**

Γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι παρ’ ὑμῖν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τοὺς θησαυτρούς τ’ αὐτοῖς δείξους’ οὓς οἱ πρότεροι κατέθεντο

τῶν ἀργυρίων· οὗτοι γὰρ ἴσασι· λέγουσι δέ τοι τάδε πάντες· «Οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἴ τις ἄρ’ ὄρνις.»

**ΕΥΕΛΠΙΔΗΣ**

Πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδρίας ἀνορύττω.

**ΧΟΡΟΣ**

Πῶς δ’ ὑγίειαν δώσους’ αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἢν εὖ πράττως’, οὐχ ὑγιεία μεγάλη τοῦτ’ ἐστί;

**ΕΥΕΛΠΙΔΗΣ**

Σάφ’ ἴσθι,

ὡς ἄνθρωπός γε κακῶς πράττων ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.

**ΧΟΡΟΣ**

Πῶς δ’ εἰς γῆράς ποτ’ ἀφίξονται; καὶ γὰρ τοῦτ’ ἔστ’ ἐν Ὀλύμπῳ. Ἢ παιδάρι’ ὄντ’ ἀποθνῄσκειν δεῖ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μὰ Δί’ ἀλλὰ τριακόσι’ αὐτοῖς ἔτι προσθήσους’ ὄρνιθες ἔτη.

**ΧΟΡΟΣ**

Παρὰ τοῦ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Παρὰ τοῦ; παρ’ ἑαυτῶν. Οὐκ οἶσθ’ ὅτι πέντ’ ἀνδρῶν γενεὰς ζώει λακέρυζα κορώνη;

**ΕΥΕΛΠΙΔΗΣ**

Αἰβοῖ, πολλῷ κρείττους οὗτοι τοῦ Διὸς ἡμῖν βασιλεύειν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὐ γὰρ πολλῷ;

Πρῶτον μέν 〈γ’〉 οὐχὶ νεὼς ἡμᾶς οἰκοδομεῖν δεῖ λιθίνους αὐτοῖς, οὐδὲ θυρῶσαι χρυσαῖσι θύραις,

ἀλλ’ ὑπὸ θάμνοις καὶ πρινιδίοις οἰκήσουσιν. Τοῖς δ’ αὖ σεμνοῖς τῶν ὀρνίθων δένδρον ἐλάας ὁ νεὼς ἔσται. Κοὐκ εἰς Δελφοὺς οὐδ’ εἰς Ἄμμων’ ἐλθόντες ἐκεῖ

θύσομεν, ἀλλ’ ἐν ταῖσιν κομάροις καὶ τοῖς κοτίνοις στάντες, ἔχοντες κριθάς, πυροὺς εὐξόμεθ’ αὐτοῖς ἀνατείνοντες τὼ χεῖρ’ ἀγαθῶν διδόναι τὸ μέρος· καὶ ταῦθ’ ἡμῖν

παραχρῆμ’ ἔσται πυροὺς ὀλίγους προβαλοῦσιν.

**ΧΟΡΟΣ**

Ὦ φίλτατ’ ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθίστου μεταπίπτων, οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ’ ἑκὼν τῆς σῆς γνώμης ἔτ’ ἀφείμην.

Ἐπαυχήσας δὲ τοῖς σοῖς λόγοις

ἐπηπείλησα καὶ κατώμοσα, ἢν σὺ παρ’ ἐμὲ θέμενος ὁμόφρονας λόγους δίκαιος ἄδολος ὅσιος ἐπὶ θεοὺς ἴῃς, ἐμοὶ φρονῶν ξυνῳδά, μὴ

πολὺν χρόνον θεοὺς ἔτι σκῆπτρα τἀμὰ τρίψειν.

Ἀλλ’ ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ’ ἡμεῖς·

ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ’ ἀνάκειται.

**ΕΠΟΨ**

Καὶ μὴν μὰ τὸν Δί’ οὐχὶ νυστάζειν ἔτι

ὥρα ’στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν, ἀλλ’ ὡς τάχιστα δεῖ τι δρᾶν. Πρῶτον δέ τοι εἰσέλθετ’ εἰς νεοττιάν τε τὴν ἐμὴν καὶ τἀμὰ κάρφη καὶ τὰ παρόντα φρύγανα,

καὶ τοὔνομ’ ἡμῖν φράσατον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἀλλὰ ῥᾴδιον. Ἐμοὶ μὲν ὄνομα Πισθέταιρος, τῳδεδὶ
Εὐελπίδης Κριῶθεν.

**ΕΠΟΨ**

Ἀλλὰ χαίρετον ἄμφω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Δεχόμεθα.

**ΕΠΟΨ**

Δεῦρο τοίνυν εἴσιτον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἴωμεν· εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς.

**ΕΠΟΨ**

Ἴθι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἀτάρ, τὸ δεῖνα, δεῦρ᾽ ἐπανάκρουσαι πάλιν. Φέρ᾽ ἴδω, φράσον νῷν, πῶς ἐγώ τε χοὐτοσὶ
ξυνεσόμεθ᾽ ὑμῖν πετομένοις οὐ πετομένω;

**ΕΠΟΨ**

Καλῶς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὅρα νυν, ὡς ἐν Αἰσώπου λόγοις
ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ᾽, ὡς φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε.

**ΕΠΟΨ**

Μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥιζίον,
ὃ διατραγόντ᾽ ἔσεσθον ἐπτερωμένω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὕτω μὲν εἰσίωμεν. Ἄγε δή, Ξανθία καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.

**ΧΟΡΟΣ**

Οὗτος, σὲ καλῶ, σὲ λέγω.

**ΕΠΟΨ**

Τί καλεῖς;

**ΧΟΡΟΣ**

Τούτους μὲν ἄγων μετὰ σαυτοῦ ἀρίστισον εὖ· τὴν δ᾽ ἡδυμελῆ ξύμφωνον ἀηδόνα Μούσαις
κατάλειφ᾽ ἡμῖν δεῦρ᾽ ἐκβιβάσας, ἵνα παίσωμεν μετ᾽ ἐκείνης.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὢ τοῦτο μέντοι νὴ Δί’ αὐτοῖσιν πιθοῦ. Ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον· ἐκβίβασον αὐτοῦ, πρὸς θεῶν, αὐτήν, ἵνα καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.

**ΕΠΟΨ**

Ἀλλ’ εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. Ἡ Πρόκνη, ἔκβαινε καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὦ Ζεῦ πολυτίμηθ’, ὡς καλὸν τοὐρνίθιον· ὡς δ’ ἁπαλόν, ὡς δὲ λευκόν. Ἆρά γ’ οἶσθ’ ὅτι ἐγὼ διαμηρίζοιμ’ ἂν αὐτὴν ἡδέως;

**ΕΥΕΛΠΙΔΗΣ**

Ὅσον δ’ ἔχει τὸν χρυσόν, ὥσπερ παρθένος. Ἐγὼ μὲν αὐτὴν κἂν φιλῆσαί μοι δοκῶ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἀλλ’, ὦ κακόδαιμον, ῥύγχος ὀβελίσκοιν ἔχει.

**ΕΥΕΛΠΙΔΗΣ**

Ἀλλ’ ὥσπερ ᾠὸν νὴ Δί’ ἀπολέψαντα χρὴ ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα κᾆθ’ οὕτω φιλεῖν.

**ΕΠΟΨ**

Ἴωμεν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἡγοῦ δὴ σὺ νῷν τύχἀγαθῇ.

**ΧΟΡΟΣ**

Ὦ φίλη, ὦ ξουθή, ὦ φίλτατον ὀρνέων, πάντων ξύννομε τῶν ἐμῶν ὕμνων, ξύντροφ’ ἀηδοῖ,

ἦλθες ἦλθες ὤφθης, ἡδὺν φθόγγον ἐμοὶ φέρους’. Ἀλλ’, ὦ καλλιβόαν κρέκους’ αὐλὸν φθέγμασιν ἠρινοῖς, ἄρχου τῶν ἀναπαίστων.

Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι, ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ’ ἀμενηνά, ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοί, ἀνέρες εἰκελόνειροι, προσέχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν ἐοῦσιν, τοῖς αἰθερίοις, τοῖσιν ἀγήρῳς, τοῖς ἄφθιτα μηδομένοισιν,

ἵν’ ἀκούσαντες πάντα παρ’ ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων, φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ’ Ἐρέβους τε Χάους τε εἰδότες ὀρθῶς, Προδίκῳ παρ’ ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν. Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς· γῆ δ’ οὐδ’ ἀὴρ οὐδ’ οὐρανὸς ἦν· Ἐρέβους δ’ ἐν ἀπείροσι κόλποις

τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν, ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,

στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις. Οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νύχιος κατὰ Τάρταρον εὐρὺν ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς.

Πρότερον δ’ οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα· ξυμμειγνυμένων δ’ ἑτέρων ἑτέροις γένετ’ οὐρανὸς ὠκεανός τε καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. Ὧδε μέν ἐσμεν πολὺ πρεσβύτατοι πάντων μακάρων ἡμεῖς. Ὡς δ’ ἐσμὲν Ἔρωτος πολλοῖς δῆλον· πετόμεσθά 〈τε〉 γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρασταί, ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν. Πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα. Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας·

710 σπείρειν μέν, ὅταν γέρανος κρώζους' εἰς τὴν Λιβύην μεταχωρῇ· καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν, εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ. Ἰκτῖνος 〈δ'〉 αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει, ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα χελιδών,

715 ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρίασθαι. Ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων. Ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις οὕτω πρὸς ἅπαντα τρέπεσθε,

715 πρός τ' ἐμπορίαν, καὶ πρὸς βιότου κτῆσιν, καὶ πρὸς γάμον ἀνδρός. Ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει·

720 φήμη γ' ὑμῖν ὄρνις ἐστί, πταρμόν τ' ὄρνιθα καλεῖτε, ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον ὄρνιν. Ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Ἀπόλλων; Ἢν οὖν ἡμᾶς νομίσητε θεούς, ἕξετε χρῆσθαι μάντεσι Μούσαις

725 αὔραις, ὥραις, χειμῶνι, θέρει, μετρίῳ πνίγει· κοὐκ ἀποδράντες καθεδούμεθ' ἄνω σεμνυνόμενοι παρὰ ταῖς νεφέλαις ὥσπερ χὼ Ζεύς· ἀλλὰ παρόντες δώσομεν ὑμῖν

730 αὐτοῖς, παισίν, παίδων παισίν, πλουθυγίειαν, βίον, εἰρήνην,

732-733 νεότητα, γέλωτα, χορούς, θαλίας

734 γάλα τ' ὀρνίθων. Ὥστε παρέσται

735 κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν· οὕτω πλουτήσετε πάντες.

736 Μοῦσα λοχμαία, τιοτιοτιοτιοτιοτιγξ, ποικίλη, μεθ' ἧς ἐγὼ

740 νάπαισί 〈τε καὶ〉 κορυφαῖς ἐν ὀρείαις, τιοτιοτιοτιγξ, ἑζόμενος μελίας ἔπι φυλλοκόμου, τιοτιοτιοτιγξ,

740 δι' ἐμῆς γένυος ξουθῆς μελέων

745 Πανὶ νόμους ἱεροὺς ἀναφαίνω σεμνά τε Μητρὶ χορεύματ' ὀρείᾳ,

746-747 τοτοτοτοτοτοτοτοτοτιγξ,

748 ἔνθεν ὡσπερεὶ μέλιττα Φρύνιχος ἀμβροσίων μελέων ἀπε-

748 βόσκετο καρπὸν ἀεὶ φέ-

748 ρων γλυκεῖαν ᾠδάν,

751-752 τιοτιοτιοτιγξ.

753 Εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταί, βούλεται διαπλέκειν ζῶν ἡδέως τὸ λοιπόν, ὡς ἡμᾶς ἴτω.

755 Ὅσα γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὰ τῷ νόμῳ κρατούμενα, ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά. Εἰ γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν νόμῳ, τοῦτ' ἐκεῖ καλὸν παρ' ἡμῖν ἐστιν, ἤν τις τῷ πατρὶ προσδραμὼν εἴπῃ πατάξας· «Αἶρε πλῆκτρον, εἰ μάχει.»

760 Εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος, ἀτταγᾶς οὗτος παρ' ἡμῖν ποικίλος κεκλήσεται. Εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου, φρυγίλος ὄρνις οὗτος ἔσται, τοῦ Φιλήμονος γένους. Εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης,

765 φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτερες. Εἰ δ' ὁ Πεισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας

765

βούλεται, πέρδιξ γενέσθω, τοῦ πατρὸς νεόττιον· ὡς παρ’ ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

Τοιάδε κύκνοι,

τιοτιοτιοτιο 〈τιοτιγξ〉 , συμμιγῆ βοὴν ὁμοῦ πτεροῖσι κρέκοντες ἴακχον Ἀπόλλω, τιοτιοτιοτιγξ, ὄχθῳ ἐφεζόμενοι παρ’ Ἕβρον ποταμόν,

τιοτιοτιο 〈τιγξ〉 , διὰ δ’ αἰθέριον νέφος ἦλθε βοά· πτῆξε δὲ φῦλά τε ποικίλα θηρῶν, κύματά τ’ ἔσβεσε νήνεμος αἴθρη, τοτοτοτοτοτο 〈τοτοτο〉 τιγξ·

πᾶς δ’ ἐπεκτύπης’ Ὄλυμπος· εἷλε δὲ θάμβος ἄνακτας· Ὀλυμπιάδες δὲ μέλος Χάριτες Μοῦσαί τ’ ἐπωλόλυξαν, τιοτιοτιοτιγξ.

Οὐδέν ἐστ’ ἄμεινον οὐδ’ ἥδιον ἢ φῦσαι πτερά. Αὐτίχ’ ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος, εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο, ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε, κᾆτ’ ἂν ἐμπλησθεὶς ἐφ’ ἡμᾶς αὖθις αὖ κατέπτετο.

Εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν, οὐκ ἂν ἐξίδισεν εἰς θοἰμάτιον, ἀλλ’ ἀνέπτετο, κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτετο. Εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν ὅστις τυγχάνει, κᾆθ’ ὁρᾷ τὸν ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,

οὗτος ἂν πάλιν παρ’ ὑμῶν πτερυγίσας ἀνέπτετο, εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ κατέπτετο. Ἆρ’ ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον; Ὡς Διειτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ ἡρέθη φύλαρχος, εἶθ’ ἵππαρχος, εἶτ’ ἐξ οὐδενὸς

μεγάλα πράττει κἀστὶ νυνὶ ξουθὸς ἱππαλεκτρυών.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ταυτὶ τοιαυτί.

**ΕΥΕΛΠΙΔΗΣ**

Μὰ Δί’ ἐγὼ μὲν πρᾶγμά πω γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἐπὶ τῷ γελᾷς;

**ΕΥΕΛΠΙΔΗΣ**

Ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις. Οἶσθ’ ᾧ μάλιστ’ ἔοικας ἐπτερωμένος;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Εἰς εὐτέλειαν χηνὶ σύ γε γεγραμμένῳ.

**ΕΥΕΛΠΙΔΗΣ**

Σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον

«Τάδ’ οὐχ ὑπ’ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.»

**ΧΟΡΟΣ**

Ἄγε δὴ τί χρὴ δρᾶν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

809 Πρῶτον ὄνομα τῇ πόλει
810 θέσθαι τι μέγα καὶ κλεινόν, εἶτα τοῖς θεοῖς θῦσαι μετὰ τοῦτο.

**ΕΥΕΛΠΙΔΗΣ**

811 Ταῦτα κἀμοὶ συνδοκεῖ.

**ΧΟΡΟΣ**

811 Φέρ’ ἴδω, τί δ’ ἡμῖν τοὔνομ’ ἔσται τῇ πόλει;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

811 Βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος Σπάρτην ὄνομα καλῶμεν αὐτήν;

**ΕΥΕΛΠΙΔΗΣ**

814 Ἡράκλεις·
815 σπάρτην γὰρ ἂν θείμην ἐγὼ τἠμῇ πόλει; Οὐδ’ ἂν χαμεύνῃ πάνυ γε κειρίαν γ’ ἔχων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

815 Τί δῆτ’ ὄνομ’ αὐτῇ θησόμεσθ’;

**ΕΥΕΛΠΙΔΗΣ**

817 Ἐντευθενὶ ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων χαῦνόν τι πάνυ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

819 Βούλει Νεφελοκοκκυγίαν;

**ΧΟΡΟΣ**

820 Ἰοῦ ἰοῦ·
820 καλόν γ’ ἀτεχνῶς 〈σὺ〉 καὶ μέγ’ ηὗρες τοὔνομα.

**ΕΥΕΛΠΙΔΗΣ**

820 Ἆρ’ ἐστὶν αὑτηγὶ Νεφελοκοκκυγία, ἵνα καὶ τὰ Θεογένους τὰ πολλὰ χρήματα τά τ’ Αἰσχίνου ’σθ’ ἅπαντα;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

823 Καὶ λῷστον μὲν οὖν
823 τὸ Φλέγρας πεδίον, ἵν’ οἱ θεοὶ τοὺς γηγενεῖς
825 ἀλαζονευόμενοι καθυπερηκόντισαν.

**ΧΟΡΟΣ**

825 Λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. Τίς δαὶ θεὸς πολιοῦχος ἔσται; Τῷ ξανοῦμεν τὸν πέπλον;

**ΕΥΕΛΠΙΔΗΣ**

825 Τί δ’ οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

825 Καὶ πῶς ἂν ἔτι γένοιτ’ ἂν εὔτακτος πόλις,
830 ὅπου θεὸς γυνὴ γεγονυῖα πανοπλίαν ἕστηκ’ ἔχουσα, Κλεισθένης δὲ κερκίδα;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΧΟΡΟΣ**

830 Τίς δαὶ καθέξει τῆς πόλεως τὸ Πελαργικόν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

830 Ὄρνις.

**ΧΟΡΟΣ**

833 Ἀφ’ ἡμῶν; Τοῦ γένους;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

833 Τοῦ Περσικοῦ, ὅσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ,

835 Ἄρεως νεοττός—

**ΕΥΕΛΠΙΔΗΣ**

835 Ὦ νεοττὲ δέσποτα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

835 ὡς ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν. Ἄγε νυν σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα καὶ τοῖσι τειχίζουσι παραδιακόνει, χάλικας παραφόρει, πηλὸν ἀποδὺς ὄργασον,

840 λεκάνην ἀνένεγκε, κατάπες’ ἀπὸ τῆς κλίμακος, φυλακὰς κατάστησαι, τὸ πῦρ ἔγκρυπτ’ ἀεί, κωδωνοφορῶν περίτρεχε καὶ κάθευδ’ ἐκεῖ. Κήρυκα δὲ πέμψον τὸν μὲν εἰς θεοὺς ἄνω, ἕτερον δ’ ἄνωθεν αὖ παρ’ ἀνθρώπους κάτω,

845 κἀκεῖθεν αὖθις παρ’ ἐμέ.

**ΕΥΕΛΠΙΔΗΣ**

845 Σὺ δέ γ’ αὐτοῦ μένων οἴμωζε παρ’ ἔμ’.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

846 Ἴθ’, ὦγάθ’, οἷ πέμπω ς’ ἐγώ. Οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ’ ἃ λέγω πεπράξεται. Ἐγὼ δ’ ἵνα θύσω τοῖσι καινοῖσιν θεοῖς, τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.

846 Παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

**ΧΟΡΟΣ**

846 Ὁμορροθῶ, συνθέλω, συμπαραινέσας ἔχω προσόδια μεγάλα σεμνὰ προσιέναι θεοῖσιν, ἅμα δὲ προσέτι χάριτος ἕνε-

855–856 κα προβάτιόν τι θύειν.

857 Ἴτω ἴτω ἴτω δὲ Πυθιὰς βοά, συναυλείτω δὲ Χαῖρις ᾠδᾷ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

858 Παῦσαι σὺ φυσῶν. Ἡράκλεις, τουτὶ τί ἦν;

860 Τουτὶ μὰ Δί’ ἐγὼ πολλὰ δὴ καὶ δείν’ ἰδὼν οὔπω κόρακ’ εἶδον ἐμπεφορβειωμένον. Ἱερεῦ, σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

**ΙΕΡΕΥΣ**

863–864 Δράσω τάδ’. Ἀλλὰ ποῦ ’στιν ὁ τὸ κανοῦν ἔχων;

865

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὔχεσθε τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ καὶ τῷ ἰκτίνῳ τῷ ἑστιούχῳ καὶ ὄρνισιν Ὀλυμπίοις καὶ Ὀλυμπίῃσι πᾶσι καὶ πάσῃσιν—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

865 Ὦ Σουνιέρακε, χαῖρ', ἄναξ Πελαργικέ.

**ΙΕΡΕΥΣ**

869-870 καὶ κύκνῳ Πυθίῳ καὶ Δηλίῳ καὶ Λητοῖ Ὀρτυγομή-
871 τρᾳ καὶ Ἀρτέμιδι Ἀκαλανθίδι—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

871 Οὐκέτι Κολαινίς, ἀλλ' Ἀκαλανθὶς Ἄρτεμις.

**ΙΕΡΕΥΣ**

873-875 καὶ φρυγίλῳ Σαβαζίῳ καὶ στρούθῳ μεγάλῃ Μητρὶ
876 θεῶν καὶ ἀνθρώπων—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

876 Δέσποινα Κυβέλη, στροῦθε, μῆτερ Κλεοκρίτου.

**ΙΕΡΕΥΣ**

876 διδόναι Νεφελοκοκκυγιεῦσιν ὑγίειαν καὶ σωτηρίαν αὐτοῖσι καὶ Χίοισι—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

880 Χίοισιν ἥσθην πανταχοῦ προσκειμένοις.

**ΙΕΡΕΥΣ**

881-882 καὶ ἥρωσιν ὄρνισι καὶ ἡρώων παισί, πορφυρίωνι καὶ
883-884 πελεκᾶντι καὶ πελεκίνῳ καὶ φλέξιδι καὶ τέτρακι καὶ
885-886 ταῶνι καὶ ἐλεᾷ καὶ βασκᾷ καὶ ἐλασᾷ καὶ ἐρῳδιῷ καὶ
887-888 καταρράκτῃ καὶ μελαγκορύφῳ καὶ αἰγιθάλῳ—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

889 Παῦ'· ἐς κόρακας· παῦσαι καλῶν. Ἰοὺ ἰού·
890 ἐπὶ ποῖον, ὦ κακόδαιμον, ἱερεῖον καλεῖς ἁλιαιέτους καὶ γῦπας; Οὐχ ὁρᾷς ὅτι ἰκτῖνος εἷς ἂν τοῦτό γ' οἴχοιθ' ἁρπάσας; Ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα· ἐγὼ γὰρ αὐτὸς τουτογὶ θύσω μόνος.

**ΧΟΡΟΣ**

895 Εἶτ' αὖθις αὖ τἄρα σοι δεῖ με δεύτερον μέλος
897-898 χέρνιβι θεοσεβὲς ὅσιον ἐπιβοᾶν, καλεῖν
899 δὲ μάκαρας, ἕνα τινὰ μόνον, εἴ-
899 περ ἱκανὸν ἕξετ' ὄψον. Τὰ γὰρ παρόντα θύματ' οὐδὲν ἄλλο πλὴν γένειόν τ' ἐστὶ καὶ κέρατα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

902 Θύοντες εὐξώμεσθα τοῖς πτερίνοις θεοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΟΙΗΤΗΣ**

Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα
κλῇσον, ὦ Μοῦσα, τεαῖς ἐν ὕμνων ἀοιδαῖς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τουτὶ τὸ πρᾶγμα ποδαπόν; Εἰπέ μοι, τίς εἶ;

**ΠΟΙΗΤΗΣ**

Ἐγώ; μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν Μουσάων θεράπων ὀτρηρός,
κατὰ τὸν Ὅμηρον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἔπειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις;

**ΠΟΙΗΤΗΣ**

Οὔκ, ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι Μουσάων θεράποντες ὀτρηροί, κατὰ τὸν Ὅμηρον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις. Ἀτάρ, ὦ ποητά, κατὰ τί δεῦρ’ ἀνεφθάρης;

**ΠΟΙΗΤΗΣ**

Μέλη πεπόηκ’ εἰς τὰς Νεφελοκοκκυγίας τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλὰ καὶ παρθένεια καὶ κατὰ τὰ Σιμωνίδου.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ταυτὶ σὺ πότ’ ἐπόησας; Ἀπὸ πόσου χρόνου;

**ΠΟΙΗΤΗΣ**

Πάλαι, πάλαι δὴ τήνδ’ ἐγὼ κλῄζω πόλιν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ, καὶ τοὔνομ’ ὥσπερ παιδίῳ νυνδὴ ’θέμην;

**ΠΟΙΗΤΗΣ**

Ἀλλά τις ὠκεῖα Μουσάων φάτις
οἷάπερ ἵππων ἀμαρυγά. Σὺ δὲ πάτερ, κτίστορ Αἴτνας, ζαθέων ἱερῶν ὁμώνυμε, δὸς ἐμὶν ὅ τι περ τεᾷ κεφαλᾷ θέλεις
πρόφρων δόμεν ἐμὶν τεῶν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα, εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα. Οὗτος, σὺ μέντοι σπολάδα καὶ χιτῶν’ ἔχεις,
ἀπόδυθι καὶ δὸς τῷ ποητῇ τῷ σοφῷ.
Ἔχε τὴν σπολάδα· πάντως δέ μοι ῥιγῶν δοκεῖς.

**ΠΟΙΗΤΗΣ**

Τόδε μὲν οὐκ ἀέκουσα φίλα Μοῦσα δῶρον δέχεται·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

938–939 τὺ δὲ τεᾷ φρενὶ μάθε Πινδάρειον ἔπος—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

940 Ἅνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.

**ΠΟΙΗΤΗΣ**

941–942 Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται στρατῶν

943 ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται. Ἀκλεὴς δ’ ἔβα σπολὰς ἄνευ χιτῶνος.

945 Ξύνες ὅ τοι λέγω.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

945 Ξυνίημ’ ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν. Ἀπόδυθι· δεῖ γὰρ τὸν ποητὴν ὠφελεῖν. Ἄπελθε τουτονὶ λαβών.

**ΠΟΙΗΤΗΣ**

948 Ἀπέρχομαι, κἀς τὴν πόλιν ἀπελθὼν ποήσω τοιαδί·

948 «Κλῇσον, ὦ χρυσόθρονε, τὰν τρομεράν, κρυεράν· νιφόβολα πεδία πολύπορά τ’ ἤλυθον. Ἀλαλαί.»

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

954 Νὴ τὸν Δί’ ἀλλ’ ἤδη πέφευγας ταυταγὶ

955 τὰ κρυερὰ τονδὶ τὸν χιτωνίσκον λαβών. Τουτὶ μὰ Δί’ ἐγὼ τὸ κακὸν οὐδέποτ’ ἤλπισα, οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν. Αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.

955 Εὐφημία ’στω.

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

959 Μὴ κατάρξῃ τοῦ τράγου.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

960 Σὺ δ’ εἶ τίς;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

960 Ὅστις; χρησμολόγος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

960 Οἴμωζέ νυν.

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

960 Ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε· ὡς ἔστι Βάκιδος χρησμὸς ἄντικρυς λέγων εἰς τὰς Νεφελοκοκκυγίας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

963 Κἄπειτα πῶς ταῦτ’ οὐκ ἐχρησμολόγεις σὺ πρὶν ἐμὲ τὴν πόλιν

965 τήνδ’ οἰκίσαι;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

965 Τὸ θεῖον ἐνεπόδιζέ με.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

965 Ἀλλ’ οὐδὲν οἷον εἰσακοῦσαι τῶν ἐπῶν.

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

965 Ἀλλ’ ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος, —

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

965 Τί οὖν προσήκει δῆτ’ ἐμοὶ Κορινθίων;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

970 Ἠινίξαθ’ ὁ Βάκις τοῦτο πρὸς τὸν ἀέρα. πρῶτον Πανδώρᾳ θῦσαι λευκότριχα κριόν· ὃς δέ κ’ ἐμῶν ἐπέων ἔλθῃ πρώτιστα προφήτης, τῷ δόμεν ἱμάτιον καθαρὸν καὶ καινὰ πέδιλα—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

970 Ἔνεστι καὶ τὰ πέδιλα;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

974 Λαβὲ τὸ βιβλίον.

975 καὶ φιάλην δοῦναι καὶ σπλάγχνων χεῖρ’ ἐνιπλῆσαι, —

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

975 Καὶ σπλάγχνα διδόν’ ἔνεστι;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

976 Λαβὲ τὸ βιβλίον.

976 κἢν μέν, θέσπιε κοῦρε, ποῇς ταῦθ’ ὡς ἐπιτέλλω, αἰετὸς ἐν νεφέλῃσι γενήσεαι· αἰ δέ κε μὴ δῷς, οὐκ ἔσε’ οὐ τρυγών, οὐ λάιος, οὐ δρυκολάπτης.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

980 Καὶ ταῦτ’ ἔνεστ’ ἐνταῦθα;

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

980 Λαβὲ τὸ βιβλίον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

980 Οὐδὲν ἄρ’ ὅμοιός ἐσθ’ ὁ χρησμὸς τουτῳί, ὃν ἐγὼ παρὰ τἀπόλλωνος ἐξεγραψάμην· Αὐτὰρ ἐπὴν ἄκλητος ἰὼν ἄνθρωπος ἀλαζὼν λυπῇ θύοντας καὶ σπλαγχνεύειν ἐπιθυμῇ,

985 δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξὺ—

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

985 Οὐδὲν λέγειν οἶμαί σε.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

986 Λαβὲ τὸ βιβλίον. καὶ φείδου μηδὲν μηδ’ αἰετοῦ ἐν νεφέλῃσιν, μήτ’ ἢν Λάμπων ᾖ μήτ’ ἢν ὁ μέγας Διοπείθης.

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

986 Καὶ ταῦτ’ ἔνεστ’ ἐνταῦθα;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

989 Λαβὲ τὸ βιβλίον.

990 Οὐκ εἶ θύραζ'; Ἐς κόρακας.

**ΧΡΗΣΜΟΛΟΓΟΣ**

990 Οἴμοι δείλαιος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

990 Οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

**ΜΕΤΩΝ**

992 Ἥκω παρ' ὑμᾶς—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

992 Ἕτερον αὖ τουτὶ κακόν. Τί δαὶ σὺ δράσων; Τίς ἰδέα βουλεύματος;

992 Τίς ἡπίνοια—τίς ὁ κόθορνος—τῆς ὁδοῦ;

**ΜΕΤΩΝ**

995 Γεωμετρῆσαι βούλομαι τὸν ἀέρα ὑμῖν διελεῖν τε κατὰ γύας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

996 Πρὸς τῶν θεῶν, σὺ δ' εἶ τίς ἀνδρῶν;

**ΜΕΤΩΝ**

997 Ὅστις εἴμ' ἐγώ; Μέτων, ὃν οἶδεν Ἑλλὰς χὠ Κολωνός.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

998 Εἰπέ μοι, ταυτὶ δέ σοι τί ἐστι;

**ΜΕΤΩΝ**

999 Κανόνες ἀέρος.

999 Αὐτίκα γὰρ ἀήρ ἐστι τὴν ἰδέαν ὅλος κατὰ πνιγέα μάλιστα. Προσθεὶς οὖν ἐγὼ τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον, ἐνθεὶς διαβήτην—μανθάνεις;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1003 Οὐ μανθάνω.

**ΜΕΤΩΝ**

1003 Ὀρθῷ μετρήσω κανόνι προστιθείς, ἵνα

1005 ὁ κύκλος γένηταί σοι τετράγωνος κἀν μέσῳ ἀγορά, φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ ὀρθαὶ πρὸς αὐτὸ τὸ μέσον, ὥσπερ δ' ἀστέρος αὐτοῦ κυκλοτεροῦς ὄντος ὀρθαὶ πανταχῇ ἀκτῖνες ἀπολάμπωσιν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1009 Ἄνθρωπος Θαλῆς.

1010 Μέτων—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΜΕΤΩΝ**

1010 Τί ἐστιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1010 Ἴσθ’ ὁτιὴ φιλῶ ς’ ἐγώ, κἀμοὶ πιθόμενος ὑπαποκίνει τῆς ὁδοῦ.

**ΜΕΤΩΝ**

1010 Τί δ’ ἐστὶ δεινόν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1012 Ὥσπερ ἐν Λακεδαίμονι ξενηλατοῦνται καὶ κεκίνηνταί τινες. Πληγαὶ συχναὶ κατ’ ἄστυ.

**ΜΕΤΩΝ**

1014 Μῶν στασιάζετε;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1015 Μὰ τὸν Δί’ οὐ δῆτ’.

**ΜΕΤΩΝ**

1015 Ἀλλὰ πῶς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1015 Ὁμοθυμαδὸν σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.

**ΜΕΤΩΝ**

1015 Ὑπάγοιμι τἄρ’ ἄν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1017 Νὴ Δί’, ὡς οὐκ οἶδ’ ἂν εἰ φθαίης ἄν· ἐπίκεινται γὰρ ἐγγὺς αὑταιί.

**ΜΕΤΩΝ**

1017 Οἴμοι κακοδαίμων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1019 Οὐκ ἔλεγον ἐγὼ πάλαι;

1020 Οὐκ ἀναμετρήσει σαυτὸν ἀπιὼν ἀλλαχῇ;

**ΕΠΙΣΚΟΠΟΣ**

1021 Ποῦ πρόξενοι;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1021 Τίς ὁ Σαρδανάπαλλος οὑτοσί;

**ΕΠΟΨ**

1021 Ἐπίσκοπος ἥκω δεῦρο τῷ κυάμῳ λαχὼν εἰς τὰς Νεφελοκοκκυγίας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1023 Ἐπίσκοπος; Ἔπεμψε δὲ τίς σε δεῦρο;

**ΕΠΟΨ**

1024 Φαῦλον βιβλίον

1025 Τελέου τι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1025 Βούλει δῆτα τὸν μισθὸν λαβὼν μὴ πράγματ’ ἔχειν ἀλλ’ ἀπιέναι;

**ΕΠΟΨ**

1026 Νὴ τοὺς θεούς. Ἐκκλησιάσαι γοῦν ἐδεόμην οἴκοι μένων· ἔστιν γὰρ ἃ δι’ ἐμοῦ πέπρακται Φαρνάκῃ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1026 Ἄπιθι λαβών· ἔστιν δ’ ὁ μισθὸς ούτοσί.

**ΕΠΟΨ**

1030 Τουτὶ τί ἦν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1030 Ἐκκλησία περὶ Φαρνάκου.

**ΕΠΟΨ**

1030 Μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1030 Οὐκ ἀποσοβήσεις; Οὐκ ἀποίσεις τὼ κάδω; Οὐ δεινά; Καὶ πέμπουσιν ἤδη ’πισκόπους εἰς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς;

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

1035–1036 «Ἐὰν δ’ ὁ Νεφελοκοκκυγιεὺς τὸν Ἀθηναῖον

1035–1036 ἀδικῇ—»

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1037 Τουτὶ τί ἐστιν αὖ κακόν, τὸ βιβλίον;

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

1037 Ψηφισματοπώλης εἰμὶ καὶ νόμους νέους ἥκω παρ’ ὑμᾶς δεῦρο πωλήσων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1039 Τὸ τί;

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

1040 «Χρῆσθαι Νεφελοκοκκυγιᾶς τοῖς αὐτοῖς μέτροισι

1041–1042 καὶ σταθμοῖσι καὶ ψηφίσμασι καθάπερ Ὀλοφύξιοι.»

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1043 Σὺ δέ γ’ οἷσπερ Ὠτοτύξιοι χρήσει τάχα.

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὗτος, τί πάσχεις;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὐκ ἀποίσεις τοὺς νόμους;
Πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.

**ΕΠΟΨ**

Καλοῦμαι Πισθέταιρον ὕβρεως εἰς τὸν Μουνιχιῶνα
μῆνα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἄληθες, οὗτος; Ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

«Ἐὰν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας καὶ μὴ δέχη-
ται κατὰ τὴν στήλην—»

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οἴμοι κακοδαίμων, καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔτι;

**ΕΠΟΨ**

Ἀπολῶ σε καὶ γράψω σε μυρίας δραχμάς—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἐγὼ δὲ σοῦ γε τὼ κάδω διασκεδῶ.

**ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ**

Μέμνησ' ὅτε τῆς στήλης κατετίλας ἑσπέρας;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Αἰβοῖ· λαβέτω τις αὐτόν. Οὗτος, οὐ μενεῖς; Ἀπίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ θύσοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον.

**ΧΟΡΟΣ**

Ἤδη 'μοὶ τῷ παντόπτᾳ καὶ παντάρχᾳ θνητοὶ πάντες
θύσους' εὐκταίαις εὐχαῖς. Πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω, σῴζω δ' εὐθαλεῖς καρποὺς κτείνων παμφύλων γένναν θηρῶν, ἃ πάντ' ἐν γαίᾳ
ἐκ κάλυκος αὐξανόμενον γένυσι παμφάγοις δένδρεσί τ' ἐφημένα καρπὸν ἀποβόσκεται. Κτείνω δ' οἳ κήπους εὐώδεις φθείρουσιν λύμαις ἐχθίσταις· ἑρπετά τε καὶ δάκετα 〈πάνθ'〉 ὅσαπερ
ἔστιν, ὑπ' ἐμᾶς πτέρυγος ἐν φοναῖς ὄλλυται.
Τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται· «Ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον, λαμβάνειν τάλαντον, ἤν τε τῶν τυράννων τίς τινα
τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν.» Βουλόμεσθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χἠμεῖς ἐνθάδε· «Ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον, λήψεται τάλαντον, ἢν δὲ ζῶντ' ἀπαγάγῃ, τέτταρα, ὅτι συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶτα φυσῶν τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται, τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά, τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν εἵρξας ἔχει, κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.» Ταῦτα βουλόμεσθ' ἀνειπεῖν· κεἴ τις ὄρνιθας τρέφει

1085 εἰργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.

1085 Ἢν δὲ μὴ πείθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων αὖθις ὑμεῖς αὖ παρ' ἡμῖν δεδεμένοι παλεύσετε.

1087 Εὔδαιμον φῦλον πτηνῶν οἰωνῶν, οἳ χειμῶνος μὲν

1090 χλαίνας οὐκ ἀμπισχνοῦνται· οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς ἀκτὶς τηλαυγὴς θάλπει· ἀλλ' ἀνθηρῶν λειμώνων φύλλων 〈τ'〉 ἐν κόλποις ναίω,

1095 ἡνίκ' ἂν ὁ θεσπέσιος ὀξὺ μέλος ἀχέτας θάλπεσι μεσημβρινοῖς ἡλιομανὴς βοᾷ. Χειμάζω δ' ἐν κοίλοις ἄντροις νύμφαις οὐρείαις ξυμπαίζων· ἠρινά τε βοσκόμεθα παρθένια

1100-1101 λευκότροφα μύρτα Χαρίτων τε κηπεύματα.

1102 Τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα τῆς νίκης πέρι, ὅς' ἀγάθ', ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν, ὥστε κρείττω δῶρα πολλῷ τῶν Ἀλεξάνδρου λαβεῖν.

1105 Πρῶτα μὲν γάρ, οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται, γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυρειωτικαί· ἀλλ' ἐνοικήσουσιν ἔνδον, ἔν τε τοῖς βαλλαντίοις ἐννεοττεύσουσι κἀκλέψουσι μικρὰ κέρματα. Εἶτα πρὸς τούτοισιν ὥσπερ ἐν ἱεροῖς οἰκήσετε·

1110 τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς αἰετόν· κἂν λαχόντες ἀρχίδιον εἶθ' ἁρπάσαι βούλησθέ τι, ὀξὺν ἱερακίσκον εἰς τὰς χεῖρας ὑμῖν δώσομεν. Ἢν δέ που δειπνῆτε, πρηγορεῶνας ὑμῖν πέμψομεν. Ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν

1115 ὥσπερ ἀνδριάντες· ὡς ὑμῶν ὃς ἂν μὴ μῆν' ἔχῃ, ὅταν ἔχητε χλανίδα λευκήν, τότε μάλισθ' οὕτω δίκην δώσεθ' ἡμῖν, πᾶσι τοῖς ὄρνισι κατατιλώμενοι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1117 Τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν, ὦρνιθες, καλά. Ἀλλ' ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἄγγελος

1120 οὐδείς, ὅτου πευσόμεθα τἀκεῖ πράγματα. Ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων.

**ΑΓΓΕΛΟΣ Α**

1122 Ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι, ποῦ, ποῦ Πισθέταιρός ἐστιν ἄρχων;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1123 Οὑτοσί.

1123 Ἐξῳκοδόμηταί σοι τὸ τεῖχος.

1124 Εὖ λέγεις.

1125 Κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον· ὥστ' ἂν ἐπάνω μὲν Προξενίδης ὁ Κομπασεὺς καὶ Θεογένης ἐναντίω δύ' ἅρματε, ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος, ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην.

1129 Ἡράκλεις.

1130 Τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὔτ' ἐγώ, ἑκατοντορόγυιον.

1131 Ὦ Πόσειδον, τοῦ μάκρους. Τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί;

1131 Ὄρνιθες, οὐδεὶς ἄλλος, οὐκ Αἰγύπτιος πλινθοφόρος, οὐ λιθουργός, οὐ τέκτων παρῆν,

1135

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ αὐτόχειρες, ὥστε θαυμάζειν ἐμέ. Ἐκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι γέρανοι θεμελίους καταπεπωκυῖαι λίθους· τούτους δ’ ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν. Ἕτεροι δ’ ἐπλινθούργουν πελαργοὶ μύριοι·

1140 ὕδωρ δ’ ἐφόρουν κάτωθεν εἰς τὸν ἀέρα οἱ χαραδριοὶ καὶ τἄλλα ποτάμι’ ὄρνεα.

1140 Ἐπηλοφόρουν δ’ αὐτοῖσι τίνες;

1142 Ἐρῳδιοὶ λεκάναισι.

1143 Τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;

1143 Τοῦτ’, ὦγάθ’, ἐξηύρητο καὶ σοφώτατα·

1145 οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις εἰς τὰς λεκάνας ἐνέβαλλον αὐτὸν τοῖν ποδοῖν.

1145 Τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο;

1145 Καὶ νὴ Δί’ αἱ νῆτταί γε περιεζωσμέναι ἐπλινθοφόρουν· ἄνω δὲ τὸν ὑπαγωγέα

1145 ἐπέτοντ’ ἔχουσαι κατόπιν ὥσπερ παιδία, τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.

1145 Τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις; Φέρ’ ἴδω, τί δαί; Τὰ ξύλινα τοῦ τείχους τίνες ἀπηργάσαντ’;

1154 Ὄρνιθες ἦσαν τέκτονες

1155 σοφώτατοι πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν ἀπεπελέκησαν τὰς πύλας· ἦν δ’ ὁ κτύπος αὐτῶν πελεκώντων ὥσπερ ἐν ναυπηγίῳ. Καὶ νῦν ἅπαντ’ ἐκεῖνα πεπύλωται πύλαις καὶ βεβαλάνωται καὶ φυλάττεται κύκλῳ,

1160 ἐφοδεύεται, κωδωνοφορεῖται, πανταχῇ φυλακαὶ καθεστήκασι καὶ φρυκτωρίαι ἐν τοῖσι πύργοις. Ἀλλ’ ἐγὼ μὲν ἀποτρέχων ἀπονίψομαι· σὺ δ’ αὐτὸς ἤδη τἄλλα δρᾶ.

**ΧΟΡΟΣ**

1160 Οὗτος, τί ποιεῖς; Ἆρα θαυμάζεις ὅτι

1165 οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1165 Νὴ τοὺς θεοὺς ἔγωγε· καὶ γὰρ ἄξιον· ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν. Ἀλλ’ ὅδε φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος εἰσθεῖ πρὸς ἡμᾶς δεῦρο πυρρίχην βλέπων.

**ΑΓΓΕΛΟΣ Β**

1170 Ἰοὺ ἰού, ἰοὺ ἰού, ἰοὺ ἰού.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1170 Τί τὸ πρᾶγμα τουτί;

1171 Δεινότατα πεπόνθαμεν.

1171 Τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διὸς διὰ τῶν πυλῶν εἰσέπτετ’ εἰς τὸν ἀέρα, λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.

1175 Ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος. Τίς τῶν θεῶν;

1176 Οὐκ ἴσμεν· ὅτι δ’ εἶχε πτερά, τοῦτ’ ἴσμεν.

1177 Οὔκουν δῆτα περιπόλους ἐχρῆν πέμψαι κατ’ αὐτὸν εὐθύς;

1178 Ἀλλ’ ἐπέμψαμεν τρισμυρίους ἱέρακας ἱπποτοξότας·

1180

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος, κερχνῄς, τριόρχης, γύψ, κύμινδις, αἰετός· ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν αἰθὴρ δονεῖται τοῦ θεοῦ ζητουμένου· κἄστ’ οὐ μακρὰν ἄπωθεν, ἀλλ’ ἐνταῦθά που

1185 ἤδη ’στίν.

1185 Οὐκοῦν σφενδόνας δεῖ λαμβάνειν καὶ τόξα. Χώρει δεῦρο πᾶς ὑπηρέτης· τόξευε, παῖε· σφενδόνην τίς μοι δότω.

**ΧΟΡΟΣ**

1188–1189 Πόλεμος αἴρεται, πόλεμος οὐ φατὸς
1190–1191 πρὸς ἐμὲ καὶ θεούς. Ἀλλὰ φύλαττε πᾶς
1192–1193 ἀέρα περινέφελον, ὃν Ἔρεβος ἐτέκετο,
1194–1195 μή σε λάθῃ θεῶν τις ταύτῃ περῶν.
1195 Ἄθρει δὲ πᾶς κύκλῳ περισκοπούμενος·
1195 ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1195 Αὕτη σύ, ποῖ ποῖ ποῖ πέτει; Μέν’ ἥσυχος,
1195 ἔχ’ ἀτρέμας αὐτοῦ· στῆθ’· ἐπίσχες τοῦ δρόμου. Τίς εἶ; Ποδαπή; Λέγειν ἐχρῆν ὁπόθεν πέτει.

**ΙΡΙΣ**

1202 Παρὰ τῶν θεῶν ἔγωγε τῶν Ὀλυμπίων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1202 Ὄνομα δέ σοι τί ἐστι; Πλοῖον ἢ κυνῆ;

**ΙΡΙΣ**

1202 Ἶρις ταχεῖα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1204 Πάραλος ἢ Σαλαμινία;

**ΙΡΙΣ**

1205 Τί δὲ τοῦτο;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1205 Ταυτηνί τις οὐ ξυλλήψεται ἀναπτόμενος τρίορχος;

**ΙΡΙΣ**

1206 Ἐμὲ ξυλλήψεται; Τί ποτ’ ἐστὶ τουτὶ τὸ κακόν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1207 Οἰμώξει μακρά.

**ΙΡΙΣ**

1207 Ἄτοπόν γε τουτὶ πρᾶγμα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1208 Κατὰ ποίας πύλας εἰσῆλθες εἰς τὸ τεῖχος, ὦ μιαρωτάτη;

**ΙΡΙΣ**

1210 Οὐκ οἶδα μὰ Δί’ ἔγωγε, κατὰ ποίας πύλας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1210 Ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται; Πρὸς τοὺς κολοιάρχους προσῆλθες; Οὐ λέγεις; Σφραγῖδ’ ἔχεις παρὰ τῶν πελαργῶν;

**ΙΡΙΣ**

1213 Τί τὸ κακόν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1213 Οὐκ ἔλαβες;

**ΙΡΙΣ**

1214 Ὑγιαίνεις μέν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1214 Οὐδὲ σύμβολον

1215 ἐπέβαλεν ὀρνίθαρχος οὐδείς σοι παρών;

**ΙΡΙΣ**

1215 Μὰ Δί’ οὐκ ἔμοιγ’ ἐπέβαλεν οὐδείς, ὦ μέλε.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1215 Κἄπειτα δῆθ’ οὕτω σιωπῇ διαπέτει διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους;

**ΙΡΙΣ**

1215 Ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεσθαι τοὺς θεούς;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1220 Οὐκ οἶδα μὰ Δί’ ἔγωγε· τῇδε μὲν γὰρ οὔ. Ἀδικεῖς δὲ καὶ νῦν. Ἆρά γ’ οἶσθα τοῦθ’ ὅτι δικαιότατ’ ἂν ληφθεῖσα πασῶν Ἰρίδων ἀπέθανες, εἰ τῆς ἀξίας ἐτύγχανες;

**ΙΡΙΣ**

1220 Ἀλλ’ ἀθάνατός εἰμ’.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1224 Ἀλλ’ ὅμως ἂν ἀπέθανες.

1225 Δεινότατα γάρ τοι πεισόμεσθ’, ἐμοὶ δοκεῖ, εἰ τῶν μὲν ἄλλων ἄρχομεν, ὑμεῖς δ’ οἱ θεοὶ ἀκολαστανεῖτε, κοὐδέπω γνώσεσθ’ ὅτι ἀκροατέον ὑμῖν ἐν μέρει τῶν κρειττόνων. Φράσον δέ τοί μοι τὼ πτέρυγε ποῖ ναυστολεῖς;

**ΙΡΙΣ**

1230 Ἐγώ; Πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πατρὸς φράσουσα θύειν τοῖς Ὀλυμπίοις θεοῖς μηλοσφαγεῖν τε βουθύτοις ἐπ’ ἐσχάραις κνισᾶν τ’ ἀγυιάς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1233 Τί σὺ λέγεις; Ποίοις θεοῖς;

**ΙΡΙΣ**

1233 Ποίοισιν; Ἡμῖν, τοῖς ἐν οὐρανῷ θεοῖς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1235 Θεοὶ γὰρ ὑμεῖς;

**ΙΡΙΣ**

1235 Τίς γάρ ἐστ’ ἄλλος θεός;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1235 Ὄρνιθες ἀνθρώποισι νῦν εἰσιν θεοί,

1235 οἷς θυτέον αὐτοῖς, ἀλλὰ μὰ Δί’ οὐ τῷ Διί.

**ΙΡΙΣ**

1235 Ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας δεινάς, ὅπως μή σου γένος πανώλεθρον

1240 Διὸς μακέλλη πᾶν ἀναστρέψῃ Δίκη, λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1240 Ἄκουσον, αὕτη· παῦε τῶν παφλασμάτων· ἔχ’ ἀτρέμα. Φέρ’ ἴδω, πότερα Λυδὸν ἢ Φρύγα

1245 ταυτὶ λέγουσα μορμολύττεσθαι δοκεῖς; Ἆρ’ οἶσθ’ ὅτι Ζεὺς εἴ με λυπήσει πέρα, μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος καταιθαλώσω πυρφόροισιν αἰετοῖς, πέμψω δὲ πορφυρίωνας εἰς τὸν οὐρανὸν

1245 ὄρνις ἐπ’ αὐτὸν παρδαλᾶς ἐνημμένους πλεῖν ἑξακοσίους τὸν ἀριθμόν; Καὶ δή ποτε εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα. Σὺ δ’ εἴ με λυπήσεις τι, τῆς διακόνου πρώτης ἀνατείνας τὼ σκέλει διαμηριῶ

1255 τὴν Ἶριν αὐτήν, ὥστε θαυμάζειν ὅπως οὕτω γέρων ὢν στύομαι τριέμβολον.

**ΙΡΙΣ**

1255 Διαρραγείης, ὦ μέλ’, αὐτοῖς ῥήμασιν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1255 Οὐκ ἀποσοβήσεις; Οὐ ταχέως; Εὐράξ, πατάξ.

**ΙΡΙΣ**

1255 Ἦ μήν σε παύσει τῆς ὕβρεως οὑμὸς πατήρ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1260 Οἴμοι τάλας. Οὔκουν ἑτέρωσε πετομένη καταιθαλώσεις τῶν νεωτέρων τινά;

**ΧΟΡΟΣ**

1261 Ἀποκεκλῄκαμεν διογενεῖς θεοὺς
1263–1264 μηκέτι τὴν ἐμὴν διαπερᾶν πόλιν,
1265–1266 μηδέ τιν’ ἱερόθυτον ἀνὰ δάπεδον 〈ἔν’〉 ἔτι
1267–1268 τῇδε βροτῶν θεοῖσι πέμπειν καπνόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1269 Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς

1270 οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.

**ΚΗΡΥΞ**

1271 Ὦ Πισθέταιρ’, ὦ μακάρι’, ὦ σοφώτατε, ὦ κλεινότατ’, ὦ σοφώτατ’, ὦ γλαφυρώτατε, ὦ τρισμακάρι’, ὦ—κατακέλευσον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1273 Τί σὺ λέγεις;

**ΚΗΡΥΞ**

1273 Στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα

1275 στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1275 Δέχομαι. Τί δ’ οὕτως οἱ λεῴ τιμῶσί με;

**ΚΗΡΥΞ**

1275 Ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν, οὐκ οἶσθ’ ὅσην τιμὴν παρ’ ἀνθρώποις φέρει, ὅσους τ’ ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.

1280 Πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,

1280 ἐλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε, ἐκόμων, ἐπείνων, ἐρρύπων, ἐσωκράτων, σκυτάλι’ ἐφόρουν· νῦν δ’ ὑποστρέψαντες αὖ ὀρνιθομανοῦσι, πάντα δ’ ὑπὸ τῆς ἡδονῆς

1285 ποιοῦσιν ἅπερ ὄρνιθες ἐκμιμούμενοι. Πρῶτον μὲν εὐθὺς πάντες ἐξ εὐνῆς ἅμα ἐπέτονθ’ ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν· κἀκεῖθεν ἂν κατῆρον εἰς τὰ βιβλία· εἶτ’ ἂν ἐνέμοντ’ ἐνταῦθα τὰ ψηφίσματα.

1290 Ὠρνιθομάνουν δ’ οὕτω περιφανῶς ὥστε καὶ πολλοῖσιν ὀρνίθων ὀνόματ’ ἦν κείμενα. Πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο χωλός, Μενίππῳ δ’ ἦν Χελιδὼν τοὔνομα, Ὀπουντίῳ δ’ ὀφθαλμὸν οὐκ ἔχων Κόραξ,

1295 Κορυδὸς Φιλοκλέει, Χηναλώπηξ Θεογένει, Ἶβις Λυκούργῳ, Χαιρεφῶντι Νυκτερίς, Συρακοσίῳ δὲ Κίττα· Μειδίας δέ τοι Ὄρτυξ ἐκαλεῖτο· καὶ γὰρ ᾔκειν ὄρτυγι ὑπὸ στυφοκόπου τὴν κεφαλὴν πεπληγμένῳ.

1295 Ἦιδον δ’ ὑπὸ φιλορνιθίας πάντες μέλη, ὅπου χελιδὼν ἦν τις ἐμπεποημένη

1295 ἢ πηνέλοψ ἢ χήν τις ἢ περιστερὰ ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν. Τοιαῦτα μὲν τἀκεῖθεν. Ἓν δέ σοι λέγω·

1305 Ἥξους’ ἐκεῖθεν δεῦρο πλεῖν ἢ μυρίοι πτερῶν δεόμενοι καὶ τρόπων γαμψωνύχων. Ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθέν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1305 Οὐ τἄρα μὰ Δί’ ἡμῖν ἔτ’ ἔργον ἑστάναι. Ἀλλ’ ὡς τάχιστα σὺ μὲν ἰὼν τὰς ἀρρίχους

1310 καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πτερῶν· Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά· ἐγὼ δ’ ἐκείνων τοὺς προσιόντας δέξομαι.

**ΧΟΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τάχα δὴ πολυάνορα τάνδε πόλιν καλεῖ τις ἀνθρώπων·

τύχη μόνον προσείη. Κατέχουσι δ’ ἔρωτες ἐμᾶς πόλεως.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Θᾶττον φέρειν κελεύω.

**ΧΟΡΟΣ**

Τί γὰρ οὐκ ἔνι ταύτῃ καλὸν ἀνδρὶ μετοικεῖν;

Σοφία, Πόθος, ἀμβρόσιαι Χάριτες τό τε τῆς ἀγανόφρονος Ἡσυχίας εὐήμερον πρόσωπον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὡς βλακικῶς διακονεῖς. Οὐ θᾶττον ἐγκονήσεις;

**ΧΟΡΟΣ**

Φερέτω κάλαθον ταχύ τις πτερῶν. Σὺ δ’ αὖθις ἐξόρμα

τύπτων γε τοῦτον ὡδί. Πάνυ γὰρ βραδύς ἐστί τις ὥσπερ ὄνος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μανῆς γάρ ἐστι δειλός.

**ΧΟΡΟΣ**

Σὺ δὲ τὰ πτερὰ πρῶτον διάθες τάδε κόσμῳ· τά τε μουσίχ’ ὁμοῦ τά τε μαντικὰ καὶ τὰ θαλάττι’. Ἔπειτα δ’ ὅπως φρονίμως πρὸς ἄνδρ’ ὁρῶν πτερώσεις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Οὔ τοι μὰ τὰς κερχνῇδας ἔτι σου σχήσομαι, οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.

**ΠΑΤΡΑΛΟΙΑΣ**

Γενοίμαν αἰετὸς ὑψιπέτας, ὡς ἂν ποταθείην ὑπὲρ ἀτρυγέτου γλαυκᾶς ἐπ’ οἶδμα λίμνας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἔοικεν οὐ ψευδαγγελήσειν ἄγγελος· ᾄδων γὰρ ὅδε τις αἰετοὺς προσέρχεται.

**ΠΑΤΡΑΛΟΙΑΣ**

Αἰβοῖ.

Οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον.

[Ἐρῶ δ’ ἔγωγε τῶν ἐν ὄρνισιν νόμων.]

Ὀρνιθομανῶ γὰρ καὶ πέτομαι καὶ βούλομαι

οἰκεῖν μεθ’ ὑμῶν κἀπιθυμῶ τῶν νόμων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ποίων νόμων; Πολλοὶ γὰρ ὀρνίθων νόμοι.

**ΠΑΤΡΑΛΟΙΑΣ**

Πάντων· μάλιστα δ’ ὅτι καλὸν νομίζεται τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Καὶ νὴ Δί’ ἀνδρεῖόν γε πάνυ νομίζομεν,

1345 ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.

**ΠΑΤΡΑΛΟΙΑΣ**

1345 Διὰ ταῦτα μέντοι δεῦρ’ ἀνοικισθεὶς ἐγὼ ἄγχειν ἐπιθυμῶ τὸν πατέρα καὶ πάντ’ ἔχειν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1345 Ἀλλ’ ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος παλαιὸς ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν·

1355 «Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους πάντας ποήσῃ τοὺς πελαργιδέας τρέφων, δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.»

**ΠΑΤΡΑΛΟΙΑΣ**

1355 Ἀπέλαυσα τἄρα νὴ Δί’ ἐλθὼν ἐνθαδί, εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1360 Οὐδέν γ’· ἐπειδήπερ γὰρ ἦλθες, ὦ μέλε, εὔνους, πτερώσω ς’ ὥσπερ ὄρνιν ὀρφανόν. Σοὶ δ’, ὦ νεανίσκ’, οὐ κακῶς ὑποθήσομαι, ἀλλ’ οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦν. Σὺ γὰρ τὸν μὲν πατέρα μὴ τύπτε, ταυτηνδὶ λαβὼν

1365 τὴν πτέρυγα καὶ τουτὶ τὸ πλῆκτρον θατέρᾳ, νομίσας ἀλεκτρυόνος ἔχειν τονδὶ λόφον, φρούρει, στρατεύου, μισθοφορῶν σαυτὸν τρέφε.

1365 Τὸν πατέρ’ ἔα ζῆν. Ἀλλ’ ἐπειδὴ μάχιμος εἶ, εἰς τἀπὶ Θρᾴκης ἀποπέτου κἀκεῖ μάχου.

**ΠΑΤΡΑΛΟΙΑΣ**

1370 Νὴ τὸν Διόνυσον εὖ γέ μοι δοκεῖς λέγειν, καὶ πείσομαί σοι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1371 Νοῦν ἄρ’ ἕξεις νὴ Δία.

**ΚΙΝΗΣΙΑΣ**

1372–1373 Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις·

1374 πέτομαι δ’ ὁδὸν ἄλλοτ’ ἐπ’ ἄλλαν μελέων—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1375 Τουτὶ τὸ πρᾶγμα φορτίου δεῖται πτερῶν.

**ΚΙΝΗΣΙΑΣ**

1376–1377 ἀφόβῳ φρενὶ σώματί τε νέαν ἐφέπων.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1378 Ἀσπαζόμεσθα φιλύρινον Κινησίαν. Τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;

**ΚΙΝΗΣΙΑΣ**

1380–1381 Ὄρνις γενέσθαι βούλομαι λιγύφθογγος ἀηδών.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1382 Παῦσαι μελῳδῶν, ἀλλ’ ὅ τι λέγεις εἰπέ μοι.

**ΚΙΝΗΣΙΑΣ**

1382 Ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν

1385 ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1385 Ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;

**ΚΙΝΗΣΙΑΣ**

1385 Κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη. Τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται ἀέρια καὶ σκοτεινὰ καὶ κυαναυγέα

1390 καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1390 Οὐ δῆτ’ ἔγωγε.

**ΚΙΝΗΣΙΑΣ**

1391 Νὴ τὸν Ἡρακλέα σύ γε. Ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα. Εἴδωλα πετηνῶν

1393 αἰθεροδρόμων οἰωνῶν ταναοδείρων—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1395 Ὠόπ.

**ΚΙΝΗΣΙΑΣ**

1395 τὸν ἁλαδρόμον ἁλάμενος ἅμ’ ἀνέμων πνοαῖσι βαίην—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1395 Νὴ τὸν Δί’ ἦ ’γώ σου καταπαύσω τὰς πνοάς.

**ΚΙΝΗΣΙΑΣ**

1395 τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδόν, τοτὲ δ’ αὖ βορέᾳ σῶμα πελάζων

1395 ἀλίμενον αἰθέρος αὔλακα τέμνων. Χαρίεντά γ’, ὦ πρεσβῦτ’, ἐσοφίσω καὶ σοφά.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1395 Οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;

**ΚΙΝΗΣΙΑΣ**

1395 Ταυτὶ πεπόηκας τὸν κυκλιοδιδάσκαλον, ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ’ ἀεί;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1405 Βούλει διδάσκειν καὶ παρ’ ἡμῖν οὖν μένων Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων Κεκροπίδα φυλήν;

**ΚΙΝΗΣΙΑΣ**

1407 Καταγελᾷς μου, δῆλος εἶ. Ἀλλ’ οὖν ἔγωγ’ οὐ παύσομαι, τοῦτ’ ἴσθ’ ὅτι, πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1410–1411 Ὄρνιθες τίνες οἵδ’ οὐδὲν ἔχοντες πτεροποίκιλοι,

1412 τανυσίπτερε ποικίλα χελιδοῖ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1412 Τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν. Ὅδ’ αὖ μινυρίζων δεῦρό τις προσέρχεται.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1415 Τανυσίπτερε ποικίλα μάλ’ αὖθις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1415 Εἰς θοἰμάτιον τὸ σκόλιον ᾄδειν μοι δοκεῖ, δεῖσθαι δ’ ἔοικεν οὐκ ὀλίγων χελιδόνων.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1415 Τίς ὁ πτερῶν δεῦρ’ ἐστὶ τοὺς ἀφικνουμένους;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1415 Ὁδὶ πάρεστιν· ἀλλ’ ὅτου δεῖ χρὴ λέγειν.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1420 Πτερῶν, πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1420 Μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;

**ΣΥΚΟΦΑΝΤΗΣ**

1420 Μὰ Δί’, ἀλλὰ κλητήρ εἰμι νησιωτικὸς καὶ συκοφάντης—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1423 Ὦ μακάριε τῆς τέχνης.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1423 καὶ πραγματοδίφης. Εἶτα δέομαι πτερὰ λαβὼν
1425 κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1425 Ὑπὸ πτερύγων τι προσκαλεῖ σοφώτερον;

**ΣΥΚΟΦΑΝΤΗΣ**

1425 Μὰ Δί’, ἀλλ’ ἵν’ οἱ λησταί τε μὴ λυπῶσί με, μετὰ τῶν γεράνων τ’ ἐκεῖθεν ἀναχωρῶ πάλιν, ἀνθ’ ἕρματος πολλὰς καταπεπωκὼς δίκας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1430 Τουτὶ γὰρ ἐργάζει σὺ τοὔργον; Εἰπέ μοι, νεανίας ὢν συκοφαντεῖς τοὺς ξένους;

**ΣΥΚΟΦΑΝΤΗΣ**

1430 Τί γὰρ πάθω; Σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1430 Ἀλλ’ ἔστιν ἕτερα νὴ Δί’ ἔργα σώφρονα, ἀφ’ ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονὶ
1435 ἐκ τοῦ δικαίου μᾶλλον ἢ δικορραφεῖν.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1435 Ὦ δαιμόνιε, μὴ νουθέτει μ’, ἀλλὰ πτέρου.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1435 Νῦν τοι λέγων πτερῶ σε.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1437 Καὶ πῶς ἂν λόγοις ἄνδρα πτερώσειας σύ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1438 Πάντες τοι λόγοις ἀναπτεροῦνται.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1439 Πάντες;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1439 Οὐκ ἀκήκοας,

1440 ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε τὸ μειράκιον ἐν τοῖσι κουρείοις ταδί; «Δεινῶς γέ μου τὸ μειράκιον Διειτρέφης λέγων ἀνεπτέρωκεν ὥσθ’ ἱππηλατεῖν.» Ὁ δέ τις τὸν αὑτοῦ φησιν ἐπὶ τραγῳδίᾳ

1445 ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1445 Λόγοισι τἄρα καὶ πτεροῦνται;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1446 Φήμ’ ἐγώ. Ὑπὸ γὰρ λόγων ὁ νοῦς 〈τε〉 μετεωρίζεται ἐπαίρεταί τ’ ἄνθρωπος. Οὕτω καὶ σ’ ἐγὼ ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις

1446 τρέψαι πρὸς ἔργον νόμιμον.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1446 Ἀλλ’ οὐ βούλομαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1446 Τί δαὶ ποήσεις;

**ΣΥΚΟΦΑΝΤΗΣ**

1451 Τὸ γένος οὐ καταισχυνῶ. Παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι. Ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς ἱέρακος ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους

1455 καλεσάμενος κᾆτ’ ἐγκεκληκὼς ἐνθαδὶ κατ’ αὖ πέτωμαι πάλιν ἐκεῖσε.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1456 Μανθάνω. Ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην ἐνθάδε πρὶν ἥκειν ὁ ξένος.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1458 Πάνυ μανθάνεις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1458 Κᾄπειθ’ ὁ μὲν πλεῖ δεῦρο, σὺ δ’ ἐκεῖς’ αὖ πέτει

1460 ἁρπασόμενος τὰ χρήματ’ αὐτοῦ.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1460 Πάντ’ ἔχεις. Βέμβικος οὐδὲν διαφέρειν δεῖ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1461 Μανθάνω βέμβικα. Καὶ μὴν ἔστι μοι νὴ τὸν Δία κάλλιστα Κορκυραῖα τοιαυτὶ πτερά.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1461 Οἴμοι τάλας, μάστιγ’ ἔχεις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1464 Πτερὼ μὲν οὖν,

1465 οἷσί σε ποήσω τήμερον βεμβικιᾶν.

**ΣΥΚΟΦΑΝΤΗΣ**

1465 Οἴμοι τάλας.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1466 Οὐ πτερυγιεῖς ἐντευθενί; Οὐκ ἀπολιβάξεις, ὦ κάκιστ’ ἀπολούμενος; Πικρὰν τάχ’ ὄψει στρεψοδικοπανουργίαν. Ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

**ΧΟΡΟΣ**

1470 Πολλὰ δὴ καὶ καινὰ καὶ θαυμάστ’ ἐπεπτόμεσθα καὶ δεινὰ πράγματ’ εἴδομεν. Ἔστι γὰρ δένδρον πεφυκὸς

1470 ἔκτοπόν τι, Καρδίας ἀ-

1475 πωτέρω, Κλεώνυμος, χρήσιμον μὲν οὐδέν, ἄλλως δὲ δειλὸν καὶ μέγα. Τοῦτο 〈τοῦ〉 μὲν ἦρος ἀεὶ βλαστάνει καὶ συκοφαντεῖ,

1480 τοῦ δὲ χειμῶνος πάλιν τὰς ἀσπίδας φυλλορροεῖ.

1481 Ἔστι δ’ αὖ χώρα πρὸς αὐτῷ τῷ σκότῳ πόρρω τις ἐν τῇ λύχνων ἐρημίᾳ,

1485 ἔνθα τοῖς ἥρωσιν ἄνθρωποι ξυναριστῶσι καὶ ξύνεισι πλὴν τῆς ἑσπέρας. Τηνικαῦτα δ’ οὐκέτ’ ἦν ἀσφαλὲς ξυντυγχάνειν.

1490 Εἰ γὰρ ἐντύχοι τις ἥρῳ τῶν βροτῶν νύκτωρ Ὀρέστῃ, γυμνὸς ἦν πληγεὶς ὑπ’ αὐτοῦ πάντα τἀπὶ δεξιά.

**ΠΡΟΜΗΘΕΥΣ**

1494 Οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ’ ὄψεται.

1495 Ποῦ Πισθέταιρός ἐστιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1495 Ἔα, τουτὶ τί ἦν; Τίς ὁ συγκαλυμμός;

**ΠΡΟΜΗΘΕΥΣ**

1496 Τῶν θεῶν ὁρᾷς τινα ἐμοῦ κατόπιν ἐνταῦθα;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1497 Μὰ Δί’ ἐγὼ μὲν οὔ. Τίς δ’ εἶ σύ;

**ΠΡΟΜΗΘΕΥΣ**

1498 Πηνίκ’ ἐστὶν ἄρα τῆς ἡμέρας;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1498 Ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.

1498 Ἀλλὰ σὺ τίς εἶ;

**ΠΡΟΜΗΘΕΥΣ**

1498 Βουλυτὸς ἢ περαιτέρω;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1498 Οἴμ’ ὡς βδελύττομαί σε.

**ΠΡΟΜΗΘΕΥΣ**

1501 Τί γὰρ ὁ Ζεὺς ποεῖ; Ἀπαιθριάζει τὰς νεφέλας ἢ ξυννέφει;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1501 Οἴμωζε μεγάλ’.

**ΠΡΟΜΗΘΕΥΣ**

1503 Οὕτω μὲν ἐκκεκαλύψομαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1503 Ὦ φίλε Προμηθεῦ.

**ΠΡΟΜΗΘΕΥΣ**

1504 Παῦε παῦε, μὴ βόα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1505 Τί γάρ ἐστι;

**ΠΡΟΜΗΘΕΥΣ**

1505 Σίγα, μὴ κάλει μου τοὔνομα· ἀπὸ γάρ μ’ ὀλεῖς, εἴ μ’ ἐνθάδ’ ὁ Ζεὺς ὄψεται. Ἀλλ’ ἵνα φράσω σοι πάντα τἄνω πράγματα, τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε, ἄνωθεν ὡς ἂν μή μ’ ὁρῶσιν οἱ θεοί.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1510 Ἰοῦ ἰοῦ· εὖ γ’ ἐπενόησας αὐτὸ καὶ προμηθικῶς. Ὑπόδυθι ταχὺ δὴ κᾆτα θαρρήσας λέγε.

**ΠΡΟΜΗΘΕΥΣ**

1510 Ἄκουε δή νυν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1513 Ὡς ἀκούοντος λέγε.

**ΠΡΟΜΗΘΕΥΣ**

1513 Ἀπόλωλεν ὁ Ζεύς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πηνίκ’ ἄττ’ ἀπώλετο;

**ΠΡΟΜΗΘΕΥΣ**

Ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.

Θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο ἀνῆλθεν ὡς ἡμᾶς ἀπ’ ἐκείνου τοῦ χρόνου, ἀλλ’ ὡσπερεὶ Θεσμοφορίοις νηστεύομεν

ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ πεινῶντες ὥσπερ Ἰλλυριοὶ κεκριγότες ἐπιστρατεύσειν φάσ’ ἄνωθεν τῷ Διί, εἰ μὴ παρέξει τἀμπόρι’ ἀνεῳγμένα, ἵν’ εἰσάγοιτο σπλάγχνα κατατετμημένα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες ἄνωθεν ὑμῶν;

**ΠΡΟΜΗΘΕΥΣ**

Οὐ γάρ εἰσι βάρβαροι, ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις τί ἐστιν;

**ΠΡΟΜΗΘΕΥΣ**

Ὅ τι ἐστίν; Τριβαλλοί.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μανθάνω.

Ἐντεῦθεν ἆρα τοὐπιτριβείης ἐγένετο.

**ΠΡΟΜΗΘΕΥΣ**

Μάλιστα πάντων. Ἓν δέ σοι λέγω σαφές· Ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν παρὰ τοῦ Διὸς καὶ τῶν Τριβαλλῶν τῶν ἄνω· ὑμεῖς δὲ μὴ σπένδεσθ’, ἐὰν μὴ παραδιδῷ

τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,

καὶ τὴν Βασιλείαν σοὶ γυναῖκ’ ἔχειν διδῷ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τίς ἐστιν ἡ Βασίλεια;

**ΠΡΟΜΗΘΕΥΣ**

Καλλίστη κόρη, ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διὸς καὶ τἄλλ’ ἁπαξάπαντα, τὴν εὐβουλίαν,

τὴν εὐνομίαν, τὴν σωφροσύνην, τὰ νεώρια, τὴν λοιδορίαν, τὸν κωλακρέτην, τὰ τριώβολα.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἅπαντα τἄρ’ αὐτῷ ταμιεύει;

**ΠΡΟΜΗΘΕΥΣ**

Φήμ’ ἐγώ. Ἣν γ’ ἢν σὺ παρ’ ἐκείνου παραλάβῃς, πάντ’ ἔχεις. Τούτων ἕνεκα δεῦρ’ ἦλθον, ἵνα φράσαιμί σοι·

ἀεί ποτ’ ἀνθρώποις γὰρ εὔνους εἴμ’ ἐγώ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Μόνον θεῶν γὰρ διὰ ς’ ἀπανθρακίζομεν.

**ΠΡΟΜΗΘΕΥΣ**

Μισῶ δ’ ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ—

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Νὴ τὸν Δί’ ἀεὶ δῆτα θεομισὴς ἔφυς.

**ΠΡΟΜΗΘΕΥΣ**

Τίμων καθαρός. Ἀλλ’ ὡς ἂν ἀποτρέχω πάλιν
φέρε τὸ σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδη ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.

**ΧΟΡΟΣ**

Πρὸς δὲ τοῖς Σκιάποσιν λίμνη τις ἔστ’, ἄλουτος οὗ
ψυχαγωγεῖ Σωκράτης. Ἔνθα καὶ Πείσανδρος ἦλθε δεόμενος ψυχὴν ἰδεῖν ἣ
ζῶντ’ ἐκεῖνον προὔλιπε, σφάγι’ ἔχων κάμηλον ἀ-
μνόν τιν’, ἧς λαιμοὺς τεμὼν ὥσπερ Οὐδυσσεὺς ἀπῆλθε, κᾆτ’ ἀνῆλθ’ αὐτῷ κάτωθεν πρὸς τὸ λαιμᾶν τῆς καμήλου Χαιρεφῶν ἡ νυκτερίς.

**ΠΟΣΕΙΔΩΝ**

Τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας ὁρᾶν τοδὶ πάρεστιν, οἷ πρεσβεύομεν. Οὗτος, τί δρᾷς; Ἐπαρίστερ’ οὕτως ἀμπέχει; Οὐ μεταβαλεῖς θοἰμάτιον ὧδ’ ἐπιδέξια; Τί, ὦ κακόδαιμον; Λαισποδίας εἶ τὴν φύσιν;

Ὦ δημοκρατία, ποῖ προβιβᾷς ἡμᾶς ποτε, εἰ τουτονὶ κεχειροτονήκας’ οἱ θεοί; Ἕξεις ἀτρέμας; Οἴμωζε· πολὺ γὰρ δή ς’ ἐγὼ ἑόρακα πάντων βαρβαρώτατον θεῶν. Ἄγε δή, τί δρῶμεν, Ἡράκλεις;

**ΗΡΑΚΛΗΣ**

Ἀκήκοας
ἐμοῦ γ’ ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι, ὅστις ποτ’ ἔσθ’ ὁ τοὺς θεοὺς ἀποτειχίσας.

**ΠΟΙΗΤΗΣ**

Ἀλλ’, ὦγάθ’, ᾑρήμεσθα περὶ διαλλαγῶν πρέσβεις.

**ΗΡΑΚΛΗΣ**

Διπλασίως μᾶλλον ἄγχειν μοι δοκεῖ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Τὴν τυρόκνηστίν τις δότω· φέρε σίλφιον·
τυρὸν φερέτω τις· πυρπόλει τοὺς ἄνθρακας.

**ΠΟΙΗΤΗΣ**

Τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν τρεῖς ὄντες ἡμεῖς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1582 Ἀλλ’ ἐπικνῶ τὸ σίλφιον.

**ΗΡΑΚΛΗΣ**

1582 Τὰ δὲ κρέα τοῦ ταῦτ’ ἐστίν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1583 Ὄρνιθές τινες ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις

1585 ἔδοξαν ἀδικεῖν.

**ΗΡΑΚΛΗΣ**

1585 Εἶτα δῆτα σίλφιον ἐπικνῇς πρότερον αὐτοῖσιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1586 Ὦ χαῖρ’, Ἡράκλεις. Τί ἐστι;

**ΠΟΙΗΤΗΣ**

1587 Πρεσβεύοντες ἡμεῖς ἥκομεν παρὰ τῶν θεῶν περὶ πολέμου καταλλαγῆς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1587 Ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.

**ΗΡΑΚΛΗΣ**

1590 Καὶ μὴν τά γ’ ὀρνίθεια λιπάρ’ εἶναι πρέπει.

**ΠΟΙΗΤΗΣ**

1590 Ἡμεῖς τε γὰρ πολεμοῦντες οὐ κερδαίνομεν, ὑμεῖς τ’ ἂν ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι ὄμβριον ὕδωρ ἂν εἴχετ’ ἐν τοῖς τέλμασιν,

1590 ἁλκυονίδας τ’ ἂν ἤγεθ’ ἡμέρας ἀεί.

1595 Τούτων πέρι πάντων αὐτοκράτορες ἥκομεν.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1595 Ἀλλ’ οὔτε πρότερον πώποθ’ ἡμεῖς ἤρξαμεν πολέμου πρὸς ὑμᾶς, νῦν τ’ ἐθέλομεν, εἰ δοκεῖ, ἐὰν τὸ δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν, σπονδὰς ποεῖσθαι. Τὰ δὲ δίκαι’ ἐστὶν ταδί·

1595 Τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν τὸν Δί’ ἀποδοῦναι· κἂν διαλλαττώμεθα ἐπὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ’ ἄριστον καλῶ.

**ΗΡΑΚΛΗΣ**

1595 Ἐμοὶ μὲν ἀπόχρη ταῦτα καὶ ψηφίζομαι.

**ΠΟΙΗΤΗΣ**

1595 Τί, ὦ κακόδαιμον; Ἠλίθιος καὶ γάστρις εἶ.

1605 Ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1605 Ἄληθες; οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ ἰσχύσετ’, ἢν ὄρνιθες ἄρξωσιν κάτω; Νῦν μέν γ’ ὑπὸ ταῖς νεφέλαισιν ἐγκεκρυμμένοι κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί·

1610

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους, ὅταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν Δία, ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντος λάθρᾳ προσπτόμενος ἐκκόψει τὸν ὀφθαλμὸν θενών.

**ΠΟΙΗΤΗΣ**

1610 Νὴ τὸν Ποσειδῶ ταῦτά γέ τοι καλῶς λέγεις.

**ΗΡΑΚΛΗΣ**

1615 Κἀμοὶ δοκεῖ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1615 Τί δαὶ σὺ φῄς;

**ΤΡΙΒΑΛΛΟΣ**

1615 Να Βαισατρευ.

**ΗΡΑΚΛΗΣ**

1615 Ὁρᾷς, ἐπαινεῖ χοὖτος.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1616 Ἕτερόν νυν ἔτι ἀκούσαθ’ ὅσον ὑμᾶς ἀγαθὸν ποήσομεν. Ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν εὐξάμενοι εἶτα διασοφίζηται λέγων·

1620 «Μενετοὶ θεοί», καὶ μἀποδιδῷ μισητίᾳ, ἀναπράξομεν καὶ ταῦτα.

**ΠΟΙΗΤΗΣ**

1621 Φέρ’ ἴδω τῷ τρόπῳ;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1621 Ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ ἄνθρωπος οὗτος, ἢ καθῆται λούμενος, καταπτόμενος ἰκτῖνος ἁρπάσας λάθρᾳ

1625 προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.

**ΗΡΑΚΛΗΣ**

1625 Τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι τούτοις ἐγώ.

**ΠΟΙΗΤΗΣ**

1627 Καὶ τὸν Τριβαλλόν νυν ἐροῦ.

**ΗΡΑΚΛΗΣ**

1627 Ὁ Τριβαλλός, οἰμώζειν δοκεῖ σοι;

**ΤΡΙΒΑΛΛΟΣ**

1628 Σαυ νακα βακταρι κρουσα.

**ΗΡΑΚΛΗΣ**

1629 Φησί μ’ εὖ λέγειν πάνυ.

**ΠΟΙΗΤΗΣ**

1630 Εἴ τοι δοκεῖ σφῷν ταῦτα, κἀμοὶ συνδοκεῖ.

1630 Οὗτος, δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1630 Καὶ νὴ Δί’ ἕτερόν γ’ ἐστὶν οὗ ’μνήσθην ἐγώ. Τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διί, τὴν δὲ Βασιλείαν τὴν κόρην γυναῖκ’ ἐμοὶ

1635 ἐκδοτέον ἐστίν.

**ΠΟΙΗΤΗΣ**

1635 Οὐ διαλλαγῶν ἐρᾷς. Ἀπίωμεν οἴκαδ’ αὖθις.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1636 Ὀλίγον μοι μέλει. Μάγειρε, τὸ κατάχυσμα χρὴ ποεῖν γλυκύ.

**ΗΡΑΚΛΗΣ**

1636 Ὦ δαιμόνι’ ἀνθρώπων Πόσειδον, ποῖ φέρει; Ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;

**ΠΟΙΗΤΗΣ**

1640 Τί δαὶ ποιῶμεν;

**ΗΡΑΚΛΗΣ**

1640 Ὅ τι; διαλλαττώμεθα.

**ΠΟΙΗΤΗΣ**

1640 Τί ᾧζύρ’; Οὐκ οἶσθ’ ἐξαπατώμενος πάλαι; Βλάπτεις δέ τοι σὺ σαυτόν. Ἢν γὰρ ἀποθάνῃ ὁ Ζεὺς παραδοὺς τούτοισι τὴν τυραννίδα, πένης ἔσει σύ· σοῦ γὰρ ἅπαντα γίγνεται

1645 τὰ χρήμαθ’, ὅς’ ἂν ὁ Ζεὺς ἀποθνῄσκων καταλίπῃ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1645 Οἴμοι τάλας, οἷόν σε περισοφίζεται. Δεῦρ’ ὡς ἔμ’ ἀποχώρησον, ἵνα τί σοι φράσω. Διαβάλλεταί ς’ ὁ θεῖος, ὦ πόνηρε σύ. Τῶν γὰρ πατρῴων οὐδ’ ἀκαρῆ μέτεστί σοι

1645 κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ κοὐ γνήσιος.

**ΗΡΑΚΛΗΣ**

1645 Ἐγὼ νόθος; Τί λέγεις;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1651 Σὺ μέντοι νὴ Δία ὤν γε ξένης γυναικός. Ἢ πῶς ἄν ποτε ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς, οὖσαν θυγατέρ’, ὄντων ἀδελφῶν γνησίων;

**ΗΡΑΚΛΗΣ**

1655 Τί δ’ ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα νοθεῖ’ ἀποθνῄσκων;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1656 Ὁ νόμος αὐτὸν οὐκ ἐᾷ. Οὗτος ὁ Ποσειδῶν πρῶτος, ὃς ἐπαίρει σε νῦν, ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος.

1660 Ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον·

1661–1662 «Νόθῳ δὲ μὴ εἶναι ἀγχιστείαν παίδων ὄντων γνησίων·

1663–1664 ἐὰν δὲ παῖδες μὴ ὦσι γνήσιοι, τοῖς ἐγγυτάτω γένους μετεῖ-

1665–1666

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναι τῶν χρημάτων.»

**ΗΡΑΚΛΗΣ**

1667 Ἐμοὶ δ’ ἄρ’ οὐδὲν τῶν πατρῴων χρημάτων μέτεστιν;

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1668 Οὐ μέντοι μὰ Δία. Λέξον δέ μοι, ἤδη ς’ ὁ πατὴρ εἰσήγαγ’ εἰς τοὺς φράτερας;

**ΗΡΑΚΛΗΣ**

1670 Οὐ δῆτ’ ἐμέ γε. Καὶ δῆτ’ ἐθαύμαζον πάλαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1670 Τί δῆτ’ ἄνω κέχηνας αἴκειαν βλέπων; Ἀλλ’ ἢν μεθ’ ἡμῶν ᾖς, καταστήσας ς’ ἐγὼ τύραννον ὀρνίθων παρέξω σοι γάλα.

**ΗΡΑΚΛΗΣ**

1670 Δίκαι’ ἔμοιγε καὶ πάλαι δοκεῖς λέγειν
1675 περὶ τῆς κόρης, κἄγωγε παραδίδωμί σοι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1675 Τί δαὶ σὺ φῄς;

**ΠΟΙΗΤΗΣ**

1676 Τἀναντία ψηφίζομαι.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1676 Ἐν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. Τί σὺ λέγεις;

**ΤΡΙΒΑΛΛΟΣ**

1676 Καλαν κοραναυ καὶ μεγαλα βασιλιναυ ὀρνιτο παραδίδωμι.

**ΗΡΑΚΛΗΣ**

1679 Παραδοῦναι λέγει.

**ΠΟΙΗΤΗΣ**

1680 Μὰ τὸν Δί’ οὐχ οὗτός γε· παραδοῦναι λέγει, εἰ μὴ βαδίζει γ’ ὥσπερ αἱ χελιδόνες.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1680 Οὐκοῦν παραδοῦναι ταῖς χελιδόσιν λέγει.

**ΠΟΙΗΤΗΣ**

1680 Σφώ νυν διαλλάττεσθε καὶ ξυμβαίνετε· ἐγὼ δ’, ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.

**ΗΡΑΚΛΗΣ**

1685 Ἡμῖν ἃ λέγεις σὺ πάντα συγχωρεῖν δοκεῖ. Ἀλλ’ ἴθι μεθ’ ἡμῶν αὐτὸς εἰς τὸν οὐρανόν, ἵνα τὴν Βασιλείαν καὶ τὰ πάντ’ ἐκεῖ λάβῃς.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1685 Εἰς καιρὸν ἆρα κατεκόπησαν ούτοιὶ εἰς τοὺς γάμους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΗΡΑΚΛΗΣ**

1689 Βούλεσθε δῆτ’ ἐγὼ τέως

1690 ὀπτῶ τὰ κρέα ταυτὶ μένων; Ὑμεῖς δ’ ἴτε.

**ΠΟΙΗΤΗΣ**

1690 Ὀπτᾷς τὰ κρές; Πολλήν γε τενθείαν λέγεις. Οὐκ εἶ μεθ’ ἡμῶν;

**ΗΡΑΚΛΗΣ**

1692 Εὖ γε μέντἂν διετέθην.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

1692 Ἀλλὰ γαμικὴν χλανίδα δότω τις δεῦρό μοι.

**ΧΟΡΟΣ**

1693 Ἔστι δ’ ἐν Φαναῖσι πρὸς τῇ

1695 Κλεψύδρᾳ πανοῦργον ἐγγλωττογαστόρων γένος, οἳ θερίζουσίν τε καὶ σπεί-

1695 ρουσι καὶ τρυγῶσι ταῖς γλώτταισι συκάζουσί τε·

1695 βάρβαροι δ’ εἰσὶν γένους, Γοργίαι τε καὶ Φίλιπποι. Κἀπὸ τῶν ἐγγλωττογαστόρων ἐκείνων τῶν Φιλίππων πανταχοῦ τῆς Ἀττικῆς ἡ

1705 γλῶττα χωρὶς τέμνεται.

**ΑΓΓΕΛΟΣ**

1706 Ὦ πάντ’ ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου, ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος, δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις. Προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς

1710 ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ οὔθ’ ἡλίου τηλαυγὲς ἀκτίνων σέλας τοιοῦτον ἐξέλαμψεν, οἷον ἔρχεται ἔχων γυναικὸς κάλλος οὐ φατὸν λέγειν, πάλλων κεραυνόν, πτεροφόρον Διὸς βέλος.

1715 Ὀσμὴ δ’ ἀνωνόμαστος εἰς βάθος κύκλου χωρεῖ, —καλὸν θέαμα, —θυμιαμάτων δ’ αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ. Ὁδὶ δὲ καὐτός ἐστιν. Ἀλλὰ χρὴ θεᾶς Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.

**ΧΟΡΟΣ**

1720 Ἄναγε δίεχε πάραγε πάρεχε.

1721–1722 Περιπέτεσθε μάκαρα μάκαρι σὺν τύχᾳ.

1723–1724 Ὢ φεῦ φεῦ τῆς ὥρας, τοῦ κάλλους.

1725 Ὦ μακαριστὸν σὺ γάμον τῇδε πόλει γήμας.

1725 Μεγάλαι μεγάλαι κατέχουσι τύχαι γένος ὀρνίθων διὰ τόνδε τὸν ἄνδρ’. Ἀλλ’ ὑμεναίοις καὶ νυμφιδίοισι δέχεσθ’ ᾠδαῖς

1730 αὐτὸν καὶ τὴν Βασιλείαν.

1730 Ἥρᾳ ποτ’ Ὀλυμπίᾳ τὸν ἠλιβάτων θρόνων ἄρχοντα θεαὶ μέγαν Μοῖραι ξυνεκοίμισαν

1735 ἐν τοιῷδ’ ὑμεναίῳ. Ὑμὴν ὤ, Ὑμέναι’ ὤ.

1736 Ὁ δ’ ἀμφιθαλὴς Ἔρως χρυσόπτερος ἡνίας ηὔθυνε παλιντόνους,

1740 Ζηνὸς πάροχος γάμων τῆς τ’ εὐδαίμονος Ἥρας. Ὑμὴν ὤ, Ὑμέναι’ ὤ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἐχάρην ὕμνοις, ἐχάρην ᾠδαῖς· ἄγαμαι δὲ λόγων. Ἄγε νυν αὐτοῦ
καὶ τὰς χθονίας κλῄσατε βροντὰς
τάς τε πυρώδεις Διὸς ἀστεροπὰς δεινόν τ’ ἀργῆτα κεραυνόν.

**ΧΟΡΟΣ**

Ὦ μέγα χρύσεον ἀστεροπῆς φάος, ὦ Διὸς ἄμβροτον ἔγχος
πυρφόρον, ὦ χθόνιαι βαρυαχέες
ὀμβροφόροι θ’ ἅμα βρονταί, αἷς ὅδε νῦν χθόνα σείει, Δῖα δὲ πάντα κρατήσας καὶ πάρεδρον Βασίλειαν ἔχει Διός. Ὑμὴν ὤ, Ὑμέναι’ ὤ.

**ΠΙΣΘΕΤΑΙΡΟΣ**

Ἕπεσθέ νυν γαμοῦσιν, ὦ φῦλα πάντα συννόμων πτεροφόρ’, ἐπὶ πέδον Διὸς καὶ λέχος γαμήλιον. Ὄρεξον, ὦ μάκαιρα, σὴν
χεῖρα καὶ πτερῶν ἐμῶν λαβοῦσα συγχόρευσον· αἴρων δὲ κουφιῶ ς’ ἐγώ.

**ΧΟΡΟΣ**

Ἀλαλαί, ἰὴ παιών· τήνελλα καλλίνικος, ὦ
δαιμόνων ὑπέρτατε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org